M
133

[illegible]

BIBLIOTECA
DE LA
Universidad de Salamanca.
Est. 1 Caj. 2 Núm. 25

M. Ibañz  D.r Forcada

Plutarco

16

BIBLIOTECA UNIVERSITARIA
SALAMANCA

M
133

Αἱ πολλοὺς πολλάκις ἠγωνισμέναι
καὶ μεγάλους ἀγῶνας ἀρετὴ καὶ
τύχη πρὸς ἀλλήλας, μέγισ-
τον ἀγωνίζονται τὸν παρόντα
περὶ τῆς ῥωμαίων ἡγεμονίας
διαδικαζόμεναι, ποτέρας γέ-
γονεν ἔργον· καὶ ποτέρα
τὴν τηλικαύτην δύναμιν γε-
γέννηκεν· οὐ γὰρ μικρὸν ἔσται τῇ
περιγενομένῃ τοῦτο μαρτύριον·
μᾶλλον δ' ἀπολόγημα πρὸς κα-
τηγορίαν· κατηγορεῖται δ' ἀρε-
τὴ μὲν, ὡς καλὸν μὲν ἀνωφε-
λὲς δέ· τύχη δέ, ὡς ἀβέβαιον μὲν
ἀγαθὸν δέ· καὶ τὴν μὲν ἄκαρπα
πονεῖν λέγουσι· τὴν δέ, ἄπιστα
δωρεῖσθαι· τίς οὖν οὐχὶ λέξει τῇ
ἡμετέρᾳ τῆς ῥώμης προστεθεῖσαν
ἢ λυσιτελεστάτην ἀρετὴν, εἰ τηλι-

BIBLIOTECA UNIVERSITARIA SALAMANCA

ΠΛΟΥΤΑΡΚΟ

καὶ ἡ τοῖς ἀγαθοῖς ἀγούσαν· ἡ βε-
βαιότατον ἀτυχίαν· χρόνον ἤδη
τοσοῦτον· ἃ δέδωκε τηροῦσαν·
ἴων μὲν οὖν ὁ ποιητὴς ἐν τοῖς
δίχα μέτρων καὶ καταλογάδην αὐ-
τῷ γεγραμμένοις φησίν· ἀνομοιότατα
πράγματα τῇ σοφίᾳ τὴν τύχην
οὖσαν· ὁμοιοτάτων πραγμάτων
γίνεσθαι δημιουργόν· αὔξουσιν
ἀμφότεραι προσκοσμοῦσιν
ἄνδρας, εἰς δόξαν ἀνάγουσιν· εἰς
δύναμιν· εἰς ἡγεμονίαν· τί δεῖ,
τὰ πολλὰ μηκύνειν ἐξαριθμού-
μενον αὐτῇ τῇ τὰ πάντα γεν-
νώσαν ἢ εἰς φέρουσαν φύσιν.
οἱ μὲν τύχην εἶναι νομίζουσιν· οἱ
δὲ σοφίαν διὸ καλόν τι τῇ ῥώμῃ
ζηλωτὸν ὁ ἐνεστὼς λόγος ἀξίωμα
ὀφείλει τι θήσειν· ἢ διαπορούμεν
ἰσορ' αὐτῆς ὡς ἴσορ γῆς καὶ
θαλάσσης ἢ οὐρανοῦ ἐν ἄστροις.

ποτέρ κατὰ τὴν συνθήκ-
ἢ πρόνοιαν· ἐμοὶ δὲ ὅτι μὲν οὖν καὶ
πάνυ πρὸς ἀλλήλας ἀεὶ πολε-
μοῦσι καὶ διαφέρονται τύχη καὶ
ἀρετή· πρὸς δὲ τηλικαύτην σύμ-
πηξιν ἀρχῆς καὶ δυνάμεως εἰ-
κὸς ἐστὶν αὐτὰς σπεισαμένας συν-
ελθεῖν· καὶ συνελθούσας συνεκπο-
νῆσαι καὶ συναπεργάσασθαι τὸ
ἀνθρώπων ἔργον τὸ κάλλιστον, ὀρ-
θῶς ὑπονοεῖν οἰόμεθα· καὶ νομίζω
καθάπερ ὁ Πλάτων φησὶν ἐκ
πυρὸς καὶ γῆς ὡς ἀναγκαίων τε
καὶ πρώτων γεγονέναι τὸν σύμ-
παντα κόσμον· καὶ ὁρατὸς γέ-
γένηται· γῆς μὲν τὸ ἐμβρι-
θὲς καὶ στάσιμον αὐτῷ συμβαλ-
λομένης, πυρὸς δὲ χρῶμα καὶ
μορφὴν καὶ κίνησιν· αἱ δὲ ἐν
μέσῳ φύσεις ὕδωρ καὶ ἀήρ, μα-
λάξασαι καὶ σβέσασαι τὴν ἑκα...

τόρου τῶν ἄκρων ἀπομεθιότητα
συνήγαγον καὶ ἀνέμιξαν τὴν ἄλλην
δι' αὐτῶν. οὕτως ἄρα καὶ ὁ τὴν ῥώ-
μην ὑποβαλλόμενος χρόνος, μετὰ
θεοῦ, τύχην καὶ ἀρετὴν ἐκέρασε
καὶ συνέζευξεν· ἵνα ἑκατέρας λα-
βὼν τὸ οἰκεῖον· ἀπεργάσηται πᾶ-
σιν ἀνθρώποις ἑστίαν ἱερὰν ὡς ἀληθῶς
καὶ ὀνησίδωρον καὶ πεῖσμα μόνιμον
καὶ στοιχεῖον ἀΐδιον· ὑποφερομένοις
τοῖς πράγμασιν, ἀγκυροβόλιον
σάλου καὶ πλάνης ὥς φησι Δημό-
κριτος· ὥσπερ γὰρ οἱ φυσικοὶ τὸν κόσμον
λέγουσιν οὐκ εἶναι κόσμον· οὐδὲ
θέλειν τὰ σώματα συνιθόντα
καὶ συμμιγέντα καινὸν ἐκ πάντων
εἶδος τῇ φύσει παρέχειν· ἀλλὰ
τῶν μὲν ἔτι μικρῶν καὶ σποράδην
φερομένων καὶ διολισθαινόντων
καὶ ὑποφευγόντων τὰς ἐπιλήψεις
καὶ περιπλοκάς· τῶν δὲ ἁδρο-

ἡ ὀάριν

σάλος Commo
tio fluctuum tem
batio maris.
πλάνης Er
rori

i. fir
ma
me
tus
Re
fu
gium

ἀγκυροβόλιον

τόρων καὶ οἰωνοσκόπων· ἤδη δ' ἐν
ἀγῶνας πρὸς ἀλλήλοις καὶ δια-
ταραχὰς λαμβανόντων καὶ ὑ-
πὸ δῶρα καὶ βαρβάρων εἶναι· καὶ φθόρου
καὶ πλάνης καὶ ναυαγίων μετὰ πάν-
τα· περιῆν γε τὴν γῆν μέγεθος λα-
βοῦσαν ἐκ τῶν οἰκιζομένων
καὶ φθειρομένων, ἱδρύσασθαί πως
αὐτήν· καὶ τῆς ἄλλης ἱδρύσιν ἐν
αὐτῇ καὶ τὸ δεῖ αὐτὴν παρασχεῖν
οὕτω τῶν μεγίστων ἐν ἀγῶσι δυ-
νάμεων καὶ ἡγεμονιῶν· κατὰ τύχ-
ην ἐναινομένην καὶ συμφερομένων
ὑπὸ τοῦ πλήθους κρατεῖν· βούλομαι
δὲ πάντας, ἀμήχανος ἡ φθορὰ
καὶ πλάνη· καὶ μεταβολὴ πᾶσα τῶ-
των μέχρι τοῦ τῆς Ῥώμης ἰσχὺν
καὶ αὔξησιν λαβούσης καὶ ἀναδησα-
μένης· τοῦτο μὲν ἔθνη καὶ δήμους
ἐν αὐτῇ· τοῦτο δ' ἀλλοφύλοις ὑ-
διατασσόντων βασιλέων ἡγεμονί,

ς. ναυ-
αγιον
naufra-
gium

Concursus
... & ...
a Bar...
...

ἕδραν ἄγε τὰ μέγιστα ἐς ἀσφαλεί-
ας κόσμον εἰρήνης· καὶ ἕνα κύ-
κλον τῆς ἡγεμονίας ἀπαιτον
περιφοβουμένης· πάσης μὲν
ἀρετῆς ἐπιγινομένης τοῖς ταῦτα
μηχανησαμένοις· πολλῆς δὲ
καὶ τύχης συνελθούσης· ὡς ἔνεστι
τοῦ λόγου προϊόντος ἐνδείξασθαι·
νυνὶ δέ μοι δοκῶ τοῦ προβλή-
ματος ὥσπερ ἀπὸ σκοποῦ
καθορᾶν ἐπὶ τὴν σύγκλεισιν ἐς
τὴν ἀγορὰν· τήν τε τύχην ἐς τὴν
ἀρετὴν βαδίζουσαν· ἀλλὰ τῆς
μὲν ἀρετῆς πρᾶόν τε βάδισμα
ἐς τὸ βλέμμα καθεστηκός· πα-
ρὰ δέ τι ἐς τῷ προσώπῳ πρὸς
τὴν ἅμιλλαν ἐρύθημα τῆς
φιλοτιμίας· καὶ πολύ με ἔφε-
ρε σπευδούσης τῆς τύχης· ἄγουσι
δὲ αὐτὴν ἐς δορυφόροισι κατὰ
πλῆθος, ἄνδρες ἀριφαστοι βε-

βροτωθέντας καὶ χεῖρας ἔχοντας · ἐναν-
τίων φονευμάτων ἀνάπλεοι·
αἷμα συμμεμιγμένον ἱδρῶτι
σταλάττοντας· καὶ κλάδοις ἐπι-
νικίοις καὶ λαφύροις· βούλεσθε
δὲ πυθώμεθα τίνας ποτὲ εἶσιν
οὗτοι· Φαβρίκιοι φασὶν εἶναι
καὶ Κάμιλλοι καὶ Λούκιοι καὶ Κικιν-
νᾶτοι καὶ Μάξιμοι καὶ Φάβιοι
καὶ Κλαύδιοι Μάρκελλοι καὶ Σκη-
πίωνες· ὁρῶ δὲ καὶ Κλαύδιον
Μάριον ὀργιζόμενον τῇ τύχῃ.
καὶ Κούρτιον Μούκιον ἐκδ· κεφαλ-
τὴν φλεγομένην χεῖρα δεικ-
νῦσι βοῶν· μὴ καὶ ταύτην τῇ
τύχῃ χαρίζῃ; καὶ πάκιος· καὶ
Μάρκος· ἀριστεὺς περὶ ποτα-
μὸς· Τυρρηνικοῖς βέλεσι βαρυ-
νόμενος· καὶ σκάζουσαν μηρὸν
παρέχων· ἐκ βαθείας ὑποφθέγ-
γεται δίνης· οὐκ οὖν κἀγὼ κτλ.

Semi fract... a κλάζω frango.

Φαβρίκιοι
Κάμιλλοι
Λούκιοι
Κικιννάτοι
Μάξιμοι
Φάβιοι
Κλαύδιοι
Μάρκελλοι
Σκηπίωνες

Κόκλης

τῆς τύχης χορός

τύχην περιπεφέρθαι· τοιοῦτος
ὁ τῆς ἀρετῆς χορός· προσέοικε μὲν αὐ-
τῶν συγκεῖσιν· βριθὺς ὁ πολῖτο
παλαιδαῖος ἀντιπάλοις· τῆς
δὲ τύχης, ὀξὺ μὲν τὸ κίνημα·
καὶ θρασὺ τὸ φρόνημα· καὶ μετὰ-
λαιχον ἡ ἐλπίς· φθάνουσα γὰρ
δὲ τῶν ἀρετῶν ἐγγίζασαν· οὐ πτε-
ροῖς ἐλαφρίζουσα κούφοις ἑαυτῶν·
οὐκ ἀκρώνυχον ὑπὲρ σφαίρας
τὶ μὲν ἴχνος καθεῖσα· ποδὶ σφα-
λῆς καὶ ἀμφίβολος προσιοῦσιν· ἔτ
ἀπιοῦσιν ἤδη· ἀλλὰ ὥσπερ οἱ προ-
πάπται τῶν ἀφροδισίων λέγουσι,
διαβαίνουσαν τὸν ἔρωτα· τὰ
μὲν ὅπλα καὶ τοὺς κλῖδωνας
καὶ τὸν κεστὸν ἀποθέσθαι· δόρυ
δὲ καὶ ἀσπίδα λαβεῖν κατὰ μὲν
τὸν λυκοῦργον· οὕτως ἡ τύχη κα-
ταλιποῦσα πέρσας καὶ ἀσσυρί-
μακεδονίαν μὲν ἐλαφρὰ διέπτη

καὶ ἀπεσείσατο ταχέως ἀλέξαν-
δρον· καὶ δι' αἰγύπτου καὶ συρίας
περιφέρουσα βασιλείας διώ-
δευσε· καὶ καρχηδονίους στρεφο-
μένη πολλάκις ἐβάστασε· τῷ
δὲ παλατίῳ προσερχομένη
καὶ διαβαίνουσα τὸν θύμβριν
ὡς ἔοικεν, ἔθηκε τὰς πτέρυγας,
ἐξέβη τῶν πεδίλων· ἀπέλιπε
τὴν ἄπιστον καὶ παλίμβολον
σφαῖραν, οὕτως εἰσῆλθεν εἰς ῥώ-
μην, ὡς μενοῦσα· καὶ τοι-
αύτη πάρεστιν ἐπὶ τὴν δίκην.
οὐ μεγαπενθὴς κατὰ πίνδαρ(ον)
οὐδὲ δίδυμον στρέφουσα πη-
δάλιον· ἀλλὰ μᾶλλον εὐνομί(ας)
καὶ πειθοῦς ἀδελφὴ καὶ προμηθ(είας)
θυγάτηρ, ὡς γενεαλογεῖ ἀλκμάν·
τὸ δ' ὑμνούμενον ἐκεῖνο τοῦ πλού-
του κέρας, ἔχει διὰ χειρὸς· οὐκ
ὀπώρας ἀεὶ θαλλούσης μεστόν·

ἀλλ' ὅσα φέρει πᾶσα γῆ· πᾶσα
δὲ θάλασσα καὶ ποταμοὶ καὶ
μέταλλα καὶ λιμένες, ἄφθονα
καὶ ῥύδην ἐπιχεομένη· λαμπροὶ
δὲ καὶ διαπρεπεῖς ἄνδρες οὐκ
ὀλίγοι μετ' αὐτῆς ὡρμήθησαν· πο-
πλίος νουμᾶς ἐκ σαβίνων· καὶ
πρίσκος ἐκ ταρκυνίων· ἐπη-
λύδας βασιλεῖς καὶ ξένους ἱ-
δρύσατο τοῖς ῥωμύλου θρόνοις·
καὶ παῦλος αἰμίλιος ἀπὸ
περσέως καὶ μακεδόνων· ἀπὸ στ-
ρατοῦ ἀθώων· καὶ νίκην ἀδακρύων
θριαμβεύσας, μεγαλύνει τὴν
τύχην· μεγαλύνει δὲ καὶ κεκίλιος
μέτελλος· ὁ μακεδονικὸς γέρ.
ὑπὸ τεσσάρων παίδων ὑπατι-
κῶν ἐκκομιζόμενος· καὶ τοῦ
βαλιαρικοῦ καὶ λευκίου διαδή-
ματος τοῦ μάρκου μετέλλου καὶ
γαΐου καπραρίου· καὶ ὃ ἦν

ἐπήλυδας καὶ
ξένους.

γαμβρῶν ὑπατικῶν καὶ θυγα-
τέρων παίδων κοσμούμενον ἐπιφα-
νεῖ ἀριστείαις καὶ πολιτείαις.
Αἰμίλιος ὁ Σκαῦρος ἐκ ταπει-
νοῦ βίου καὶ ταπεινοτέρου γέν-
νους ἄνω ἀρθεὶς ὑπ' αὐτῆς
προεγράφθαι τοῦ μεγάλου
συνεδρίου. Κορνήλιον ὁ Σύλλ
ἐκ τῶν Νικοπόλεως τῆς ἑταί-
ρας ἀναλαβοῦσα καὶ βαστάσασα κόλπων
ὑψηλότερον τῶν Κιμβρικῶν
Μαρίου θριάμβων καὶ τῶν
ἑπτὰ ὑπατειῶν ἐπιτίθησι
μοναρχίαις καὶ δικτατορίαις.
Ἀντικρὺς οὗτος τῇ τύχῃ μετὰ
τῶν πράξεων ἑαυτὸν εἰσεποίει
βοῶν κατὰ τὸν Οἰδίποδα τοῦ
Σοφοκλέους· ἐγὼ δ' ἐμαυτὸν
παῖδα τῆς τύχης νέμω. Καὶ
ῥωμαϊστὶ μὲν Φῆλιξ ὠνομά-
ζετο· τοῖς δὲ Ἕλλησιν οὕτως ἔγραφε.

ε

λούκιος κορνήλιος σύλλας ἐπα-
φρόδιτος· καὶ τὰ παρ' ἡμῖν
ἐν χαιρωνείᾳ τρόπαια, καὶ τὰ
τῶν μιθριδατικῶν, οὕτως ἐστὶ
γεγραμμένα καὶ εἰκότως· πλείστη
γὰρ ἀφροδίτης, οὐ νὺξ κατὰ μέ-
νανδρον· ἀλλὰ τύχη μετέσχηκε.
ἆρ' οὖν ταύτην τῆς ἀρχῆς ποιη-
σάμενος οἰκείαν ὑπὲρ τῆς τύχ(ης)
ἐπάγοιτο μάρτυρας αὐτοὺς ῥω-
μαίους, ὡς τῇ τύχῃ πλέον ἢ τῇ
ἀρετῇ νενεμηκότας; ἀρετῆς μὲν γε
παρ' αὐτοῖς· ὀψὲ καὶ μετὰ πολλοὺς
χρόνους ἱερὸν ἱδρύσατο σκηπίων
ὁ νομαντῖνος· εἶτα μάριος, τὸ
οὐίρτουτις καὶ ὄνωρις τεσσαρακο-
ρας ὁμοῦ· καὶ τὸ τῆς μαντικῆς κα-
λουμένης γνώμης ἂν νομίζοιτο·
σκαῦρος αἰμίλιος περὶ τὰ κιμ-
βρικὰ τοῖς χρόνοις γεγονὼς
ἤδη τότε λόγων καὶ σοφιστῶν καὶ

τὸ οὐίρτουτ(ις) ἱερὸν καὶ ὤνωρις·

ῥωμυλίας παραφορήσασα ἐστὶ
πόλιν· ἠρχόμενα σεμνύνουσιν τα-
τοιαῦτα· σοφίας δὲ μέχρις νῦν
ἱερὸν οὐκ ἔστιν· οὐδὲ σωφροσύνης
ἢ μεγαλοψυχίας· ἢ καρτερίας
ἢ ἐγκρατείας· ἀλλὰ τὰ δὲ τῆς
τύχης ἱερὰ, λαμπρὰ καὶ
παλαιὰ· καὶ ὁμοῦ τι τοῖς πρώτοις
καταμεμιγμένα τῆς πόλεως θε-
μελίοις γέγονε· πρῶτον μὲν γὰρ
ἱδρύσατο τύχης ἱερὸν· μάρκος
ἄγκος ὁ νομᾶ· θυγατριδοῦς ὢν
τέταρτος ἀπὸ ῥωμύλου βασι-
λεὺς γενόμενος· καὶ τάχα που τὴν
τύχην τῇ ἀνδρείᾳ παρωνόμασε·
ἧς πλεῖστον εἰς τὸ νικᾶν τύχης
μετέχει· τὸ δὲ τῆς γυναικείας
τύχης κατεσκεύασαν πρὸ
καμίλλου· ὅτε μάρκιον κορι-
ολανὸν ἐπάγοντα τῇ πόλει οὐο-
λούσκοις ἀπέτρεψαν διὰ

τῶν γυναικῶν· προθυμηθεῖσαι
γρ. πρὸς τὴν ἄνδρα γὰρ αὐτοῦ πρὸς τὴν ἀνδρείαν
μετὰ τῆς μητρὸς αὐτοῦ καὶ τῆς γυ
ναικὸς ἐξιλιπάρησαν καὶ κα
τειργάσαντο φείσασθαι τῆς πό
λεως καὶ τὴν στρατιὰν τῶν
βαρβάρων ἀπαγαγεῖν· τότε λέ
γεται τὸ ἄγαλμα τῆς τύχης
ἅμα τῷ καθιδρυθῆναι, φω
» νὴν ἀφεῖναι καὶ εἰπεῖν· ὁσίως
» με πόλεως νόμῳ γυναῖκες
» ἀσταὶ καθιδρύσασθαι· καὶ
μὴν ὁ φούριος κάμιλλος ὅτε
τὸ κελτικὸν ἔσβεσε πῦρ· καὶ
τὴν ῥώμην ἀντίρροπον χρυ
σοῦ κεκλιμένην ἀπὸ τοῦ ζυ
γοῦ καὶ τῆς πλάστιγγος καθεῖλα
οὔτε ἀβουλίας οὔτε ἀνδρείας
ἀλλὰ φήμης ἱδρύσατο καὶ κλη
δόνος ἱερὸν παρὰ τὴν καινὴν
ὁδόν· ὅπου φασὶ πρὸ τοῦ πο

λέμου μάρκῳ δεκίῳ βα
δίζοντι νύκτωρ, φωνὴν γε
νέσθαι κελεύουσαν ὀλίγῳ χρό
νῳ γαλατικὸν πόλεμον προσ
δέχεσθαι· τὴν δὲ πρὸς τῷ τα
μιείῳ τύχην, ἣν φορτικὴν
καλοῦσιν ὅσυβρατιν ἰσχυρὰν
ἢ ἀριστατικὴν, ἢ ἀνδρείαν
ὡς τὸ νικητικὸν ἁπάντων
κράτος ἔχουσαν· καὶ τὸ γενναῖον
αὐτῆς· ἐν τοῖς ἀπὸ καίσαρος
τῷ δήμῳ καταλειφθεῖσι κή
ποις ᾠκοδόμησαν ἡγούμενοι
κἀκεῖνον εὐτυχίᾳ γενέσθαι
μέγιστον· ὡς αὐτὸς ἐμαρτύ
ρησεν· περὶ δὲ γαΐου καίσαρος
ἠδέσθησαν ἂν εἰπεῖν ὡς ὑπὸ τῆς εὐτυ
χίας ἤρθη μέγιστος, εἰ μὴ τοῦτ'
αὐτὸς ἐμαρτύρησεν· ἐπεὶ
γὰρ ἀπὸ βρεντεσίου πομπή
ϊον διώκων ἀνήχθη πρὸ μιᾶς

ἡμέρας νουμμων ἰανουαρίων.
χειμῶνος ἐν τροπαῖς ὄντος, τὸ
μὲν πέλαγος ἀσφαλῶς διεπέ-
ρασε· τῆς τύχης τοῦ καιρὸν ὑπο-
θεμένης· εὑρὼν δὲ τὸν πολέμιον
ἀθρόον· καὶ πολὺν μὲν ἐν γῇ· πο-
λὺν δὲ ἐν θαλάσσῃ μετὰ πάντων
ἅμα τῶν δυνάμεων καθεζόμενον·
αὐτὸς γοστὸς ὤν, τῆς μετ' ἀ-
ἀντωνίου καὶ σαβίνου στρατιᾶς
αὐτῷ βραδυνούσης, ἐτόλμησε
εἰς ἀκάτιον μικρὸν ἐμβάς· καὶ
λαθὼν τόν τε ναύκληρον καὶ τὸν
κυβερνήτην ὥς τινος θεράποντος
ἀναχθῆναι· σκληρᾶς δὲ πρὸς
τὸ ῥεῦμα τοῦ ποταμοῦ γενομένης
ἀντιμεταβάσεως καὶ κλύδωνος
ἰσχυροῦ μεταβαλλόμενον ὁρῶν
τὸν κυβερνήτην· ἀφεῖλεν ἀπὸ
τῆς κεφαλῆς τὸ ἱμάτιον· καὶ
ἀναδείξας ἑαυτόν· ἴθι ἔφη γενναῖε

καὶ τόλμα· καὶ δέδιθι μηδὲν·
ἀλλ' ἐπιδίδου τῇ τύχῃ τὰ ἱστία
καὶ δέχου τὸ πνεῦμα τοῦ πνέοντι,
πιστεύων ὅτι Καίσαρα φέρεις·
οὕτως ἐπεπέπειστο τὴν τύχην αὐ-
τῷ συμπλεῖν· συναποδημεῖν·
συστρατεύεσθαι· συστρατηγεῖν·
ἧς ἔργον ἦν· γαλήνην μὲν ἐπι-
τάξαι θαλάσσῃ· θέρος δὲ χειμῶνι·
τάχος δὲ τοῖς βραδυτάτοις· ἀλκὴν
δὲ τοῖς ἀθυμοτάτοις· τὸ δὲ
τούτων ἀπιστότερον, φυγὴν
Πομπηΐῳ· καὶ Πτολεμαίῳ ξενο-
κτονίαν· ἵνα μὴ Πομπήιος πέσῃ
καὶ Καῖσαρ μὴ μιανθῇ :- τί δὲ ὁ
τούτου μὲν υἱός, πρῶτος δὲ ἀνα-
γορευθεὶς σεβαστός· ἄρξας δὲ τέσσα-
ρα καὶ πεντήκοντα ἔτη· οὐκ
αὐτὸς ἐκπέμπων τὸν θυγα-
τριδοῦν ἐπὶ στρατείαν· εὔξατο
τοῖς θεοῖς· ἀνδρείαν μὲν αὐτῷ

ὁ δοῦραι τὴν σκηπίωνος· ἄλλοι
δὲ τὴν πομπηΐου· τύχην δὲ
τὴν αὐτοῦ· καθάπερ ἔργῳ με-
γάλῳ δημιουργὸν ἐπιγράφεται
ἑαυτῷ τὴν τύχην, ἥτις αὐτοῦ
ἐπεθέσπισε κικέρωνι καὶ λεπίδῳ
καὶ πάνσᾳ καὶ ἱρτίῳ· καὶ μετὰ ταῦτα
ἀντωνίῳ μάρκῳ· τοὺς ἐκείνων
ἀριστείαις καὶ χερσὶ καὶ νίκαις καὶ
στόλοις καὶ στρατοπέδοις γενομένους
πρώτους· ὡς εἶτα ἄρασα καὶ
καταβαλοῦσα τούτοις ὃ ἦν
ἄρχειν μόνον κατέλιπεν· ἐκεί-
νῳ γὰρ ἐπολιτεύετο κικέρων
καὶ λέπιδος ἐστρατήγει· καὶ πάνσ
ἐνίκα· καὶ ἵρτιος ἔπιπτε· καὶ
ἀντώνιος ὕβριζε· ἐγὼ γὰρ καὶ
κλεοπάτραν, τὴν τύχην καὶ
[illegible] τίθημι· περὶ ἣν ὥσ-
περ ἕρμα κατεάγη καὶ συνετρίβη
τηλικοῦτος αὐτοκράτωρ, ἵνα

ἢ μόνος Καῖσαρ· λέγηται δὲ
πολλῆς οἰκειότητος αὐτοῖς καὶ
συνηθείας ὑπαρχούσης· πολ-
λάκις σχολάζοντα· εἰς παι-
διὰν κύβων ἢ σφαίρας ἢ νὴ
δία θρεμμάτων ἁμίλλης
οἷον ὀρτύγων· ἀλεκτρυόνων·
ἀεὶ νικώμενον ἀντώνιον ἀπαλ-
λάττεσθαι· καί τινα τῶν περὶ
αὐτὸν ἐπὶ μαντικῇ σεμνυνο-
μένον· πολλάκις παρρησιά-
ζεσθαι καὶ νουθετεῖν· ὦ ἄνθρωπε τί σοι
πρᾶγμα· πρὸς τοῦτόν ἐστι
τὸν νεανίσκον· φεῦγε αὐτόν·
ἐνδοξότερος εἶ· πρεσβύτερος
εἶ· ἀρχεῖς πλειόνων· ἐνήθληκας
πολέμοις· ἐμπειρίᾳ διαφέρεις 55
ἀλλ' ὁ σὸς δαίμων· τὸν τούτου
φοβεῖται καὶ ἡ τύχη σου καθ'
αὑτὴν οὖσα μεγάλη· κολακεύει
δὲ τὴν τούτου· ἐὰν μὴ μακρὰν

ἧς, οὐχ ἥσυχον μεταβᾶσα πρὸς
αὐτόν. ἀλλὰ γὰρ αἱ μὲν ἀπὸ
τῶν μαρτύρων πίστεις, τοσαῦται
τῇ τύχῃ πάρεισιν. δεῖ δὲ καὶ τὰς
ἀπὸ τῶν πραγμάτων αὐτῶν
ἐπάγειν, ἀρχὴν τοῦ λόγου, τὴν
ἀρχὴν τῆς πόλεως λαβόντας.
ἀληθῶς γοῦν τίς οὐκ ἂν εἴποι
πρὸς τὴν Ῥωμύλου γένεσιν καὶ
σπορὰν, καὶ τροφὴν καὶ αὔξησιν, ἀ-
ρετῆς μὲν ὑπερβολὰς καταπε-
θεῖσθαι, τὴν δὲ τύχην ἐξωκθο-
μηκέναι. πρέπει μὲν οὖν τὸ
πεῖ τὴν γένεσιν καὶ τὴν τεκνώσ
αὐτῶν τῶν ξυνιδρυσαμένων καὶ
κτισάντων τὴν πόλιν, ἀτυχῇ
ἔοικε θαυμαστῆς γενέσθαι. θεῷ
γὰρ ἡ τεκοῦσα μιχθεῖσα λέγεται
καὶ καθάπερ τὸν Ἡρακλέα πα-
ρῆναι φασὶν ἐν μακρᾷ νυκτί.
τῆς ἡμέρας ἐπισχεθείσης πολλὰ

παρὰ φύσιν· καὶ τοῦ ἡλίου βραδύ-
ναντος· οὔπω περὶ τὴν ῥωμύλου
σπορὰν καὶ καταβολὴν τοῦ ἡλί-
ου ἐκλιπόντος ἱστοροῦσι· ποιησάμενον
ἀτρεκῆ τὴν ὁδὸν πρὸς σελήνην·
ὥσπερ ὁ ἄρης θεὸς ὢν, τῇ σιλβί-ᾳ
θνητῇ συνῆλθε· τοῦτο δὲ συν-
τυχὸν τῷ ῥωμύλῳ καὶ περὶ τὴν
μετάστασιν αὐτὴν τοῦ βίου·
λέγουσι γὰρ ἐκλιπόντος τοῦ ἡλίου
ἠφανίσθαι νόνναις καπρατίναις·
ἣν ἄχρι νῦν ἡμέραν ἐπιφανῶς
ἑορτάζουσιν· ἔπειτα γεννηθέν-
τας αὐτοὺς· τοῦ τυράννου ἀποκτείναντος
ἀμελεῖν, παρέλαβε κατὰ τύχην·
οὐ βάρβαρος, οὐδ᾽ ἄγριος ὑπηρέτης·
ἐλεήμων δέ τις καὶ φιλάνθρωπος· ὥστε
μὴ κτεῖναι· ἀλλὰ τοῦ ποταμοῦ
τις ἦν ὄχθη χλοερὰ περικλύ-
ζουσα καὶ περισκιαζομένη χθαμα-
λοῖς δένδρεσιν· ἐνταῦθα κατέ-

χθαμαλοῖς δένδρεσι

θηκε τὰ βρέφη πλησίον ἐρι-
νεοῦ τινος ὃν ῥουμινάλιν ὠνό-
μαζον. εἶτα λύκαινα τις νεο-
τόκος, σπαργῶσα καὶ πλημ-
μυροῦσα τοῖς μαστοῖς γάλα-
κτι, τῶν σκύμνων ἀπολω-
λότων, αὐτὴ χρῄζουσα κουφισ-
μοῦ, προσέπτυξε τὰ βρέφη
καὶ θηλὴν ἐπεῖχεν, ὥσπερ ὠδῖνα
τὸν ἀπόρρουν ἀποτιθεμένη τοῦ
γάλακτος. ἱερὸς δὲ ὄρνις ἄρεος,
ὃν δρυοκολάπτην καλοῦσιν
ἐπιφοιτῶν, καὶ προσκαθίζων
ἀκρώνυχος, ἐν μέρει τῶν νη-
πίων ἑκατέρου στόμα τὴν
χηλὴν διοίγων, ἐνετίθει ψω-
μίσματα τῆς αὐτοῦ τροφῆς ἀ-
πομερίζων. τὸν μὲν οὖν ἐρι-
νεόν, ῥουμινάλιν ὠνόμασαν,
ἀπὸ τῆς θηλῆς· ἣν ἡ λύκαινα
παρ' αὐτὸ ὀκλάσασα τοῖς βρέ-

φασὶ περὶ ἀρχήν· μέλλει ὁ πολλοῦ
ἀτεφύλακτον οἱ πόθεν τὸ π
ἐκείνου κατοικιζομένου· μὴ θέλειν
ἐκτίθεσθαι τῶν γεννωμένων·
ἀλλὰ ἀναιρεῖσθαι πάντα καὶ
τρέφειν, τὸ Ῥωμύλου πάθος
καὶ τὴν ὁμοιότητα τῇ κεφυτῶ-
ς μένω τό, γε λαθεῖν αὐτοῖς τρε-
φομένοις καὶ παιδευομένοις
σὺν Γαβίοις, ἀγνοηθεῖσαι Σιλβί-
ὄντας υἱοὺς καὶ θυγατριδοῦς
Νεμίτορος· καὶ τοῦ βασιλέως,
πάντα πᾶσι τύχης κλέμμα
καὶ σόφισμα φαίνεσθαι γεγενημένα·
ὅπως μὴ ἀπόλωνται πρὸ τῶν
ἔργων διὰ τὸ γένος· ἀλλ᾽ ἐν αὐ-
τοῖς φανῶσι τοῖς κατορθώμασι
γνωρίσματα τῆς εὐγενείας
τὴν ἀρετὴν παρέχοντες· ἐν-
ταῦθά μοι μεγάλου καὶ φρονίμου
στρατηγοῦ λόγος ἐπεισι θεμι-

τοκλέους· ῥηθεὶς πρός τινας
τῶν ὕστερον ἀνευδοκιμούντων
Ἀθήνησι στρατηγῶν· καὶ προ-
τιμᾶσθαι τοῦ Θεμιστοκλέους
ἀξιούντων· ἔφη γὰρ τὴν ὑστέρ
ἐρίσαι πρὸς τὴν ἑορτὴν λέγουσαν·
ὡς ἐκείνη μὲν ἐστὶ κοπώδης καὶ
ἄσχολος· ἐν αὐτῇ δὲ τῶν
παρεσκευασμένων ἀπολαύουσι
μεθ' ἡσυχίας· τὴν δὲ ἑορτὴν
εἰπεῖν· ἀληθῆ λέγεις· ἀλλ' ἐμοῦ
μὴ γενομένης, ποῦ ἂν σὺ ἦσθα·
κἀμοῦ τοίνυν ἔφη μὴ γενομένου
τότε τὰ Μηδικά, τίς ἂν ἦν ὑμῶν
ἡ νῦν ὄνησις· ταὐτό μοι δοκεῖ
πρὸς τὴν Ῥωμύλου ἀρετὴν ἢ τύ-
χη λέγειν· λαμπρὰ μὲν τὰ
σὰ ἔργα καὶ μεγάλα· καὶ θεὸν
ὡς ἀληθῶς ἐξεφήμισας αἱματο-
γενὲς οὖσαν σεαυτήν· ἀλλ' ὁρᾷς
πόσον ὑστέρησέ μου; ἢ γὰρ ἐγὼ

τότε μὲν παρηκολούθησα χρηστὴ
καὶ φιλάνθρωπος ἀλλ᾽ ἐπιπόνου καὶ
παρηκολούθει τὰ νήπια· οὗτοι
ἄρ᾽ ἐξ ἐμοῦ· καὶ πόθεν ἐξέλαμψε·
ἡ τότε μὲν θηλὺ θηρείου ἐπῆλθε
φλεγμονοῦσ᾽ ὑπὸ πλήθους καὶ φορᾶς
γάλακτος· καὶ τραφησομένου
δεομένου μᾶλλον ἢ θρέψοντος· ἀλλ᾽
ἀνημέρου τε τινὸς καὶ λιμώττον,
οὐκ ἂν ἐπιγνῷ τὰ καλὰ ταῦτα
βασίλεια καὶ ναοὶ καὶ θέατρα καὶ
περίπατοι καὶ ἀγορὰ καὶ ἀρχεῖα· περίπατοι.
καὶ βοτῆρσι· καὶ καλύβαι καὶ σταθμοὶ
νομέων ἦσαν· Ἀλβανὸν ἢ Τυρ-
ρηνὸν ἢ Λατῖνον ἄνδρα δεσπότ[ην]
η προσκυνούσαι τῶν· ἀρχὴ μὲν
δὴ τὸ μέγιστον ἐν παντί· μά-
λιστα δὲ ἐν ἱδρύσει καὶ κτίσει πό-
λεως· ταύτην δὲ ἡ τύχη παρέ-
σχε· σώσασα καὶ φυλάξασα τὸν
κτίστην· ἡ μὲν γὰρ ἀρετὴ,

μέσαν ἐποίησεν ῥωμαίων μᾶλλον· ἢ
τύχης, ἄχρι τοῦ γενέσθαι μεγίστην
ἐτήρησε· καὶ μὲν τήν γε νουμᾶ
βασιλείαν πολυχρονιωτάτην
γενομένην ὁμολογοῦμεν ὡς
εὐτυχία διευθύνησε θαυμαστῇ·
τὸ μὲν γὰρ αἰγερίαν τινὰ νυμ-
φῶν μίαν δρυάδων δαίμονα
σοφὴν, ἔρωτι τἀνδρὸς ξυνου-
σίᾳ γινομένην, παραπαι-
δαγωγεῖν καὶ συσχηματίζειν τὴν
πολιτείαν, ἴσως μυθῶδές ἐστιν·
καὶ γὰρ ἄλλοι λεχθέντες ἀγα-
πᾶσθαι γάμων θεῶν καὶ θεοῖς ἐράσ-
μιοι γενέσθαι, πηλεῖς καὶ ἀγχίσαι
καὶ ὠρίωνες καὶ ἠμαθίωνες, οὐ
πάντως ἀσφαλῶς οὐδ᾽ ἀλύπως
διεβίωσαν· ἀλλὰ νουμᾶς ἔ-
οικε τὴν ἀγαθὴν τύχην ἔχειν
ὡς ἀληθῶς συνοικοῦν καὶ συνεδρ[εύουσαν]
καὶ συνάρχουσαν ἢ καθάπερ

ἐν κλύδωνι θολερῷ καὶ τετα-
ραγμένῳ πελάγει· τῇ τῶν περι-
οίκων καὶ ἀτόμων ἔχθρᾳ καὶ χα-
λεπότητι τὴν πόλιν φθειρο-
μένην καὶ φλεγμαίνουσαν ὑπὸ
μυρίων πόνων καὶ διχοστασιῶν
παραλαβοῦσα τοῖς μὲν ἀντι-
τεταγμένοις θύμοις καὶ φθόνῳ
ὥσπερ πνεύματα κατα-
βαλοῦσα· οἷα δὲ φασὶν τὰς ἀλ-
κυόνων λοχείας παραδοξάζειν
τὴν θάλατταν ἐν χειμῶνι σώ-
ζειν καὶ ἀνεκτὴν τίθεσθαι τοι-
αύτην ἀναχεαμένη καὶ περιστή-
σασα γαλήνην πραγμάτων
καὶ ἀπόλεμον καὶ ἄνοσον καὶ ἀκίν-
δυνον καὶ ἄφοβον· μεσοπαθεῖ
σεισμῷ καὶ κραδασμοῖς πάρεσχε·
ῥιζῶσαι καὶ καταστῆσαι τὴν πό-
λιν αὐξανομένην ἐν ἡσυχίᾳ
βεβαίως καὶ ἀνεμποδίστως· ὥσπερ

γὰρ ὁλκὰς ἢ τριήρης ναῦς πηγνύμεναι
μὲν ὑπὸ πλήθους καὶ βίας πολλῆς,
σφύραις καὶ ἥλοις ἀρασσόμεναι καὶ γομ-
φώμασι καὶ τερέτροις καὶ πελέκεσι
γενόμεναι δὲ στῆναι δεῖ ἐν παγίαι
συμμένειν χρόνον· ἕως οἵ τε δεσ-
μοὶ κάτοχοι γένωνται καὶ συνή-
θειαν οἱ γόμφοι λάβωσι· ἐὰν δὲ
ὕδασιν ἐπὶ καὶ ὑπολισθαίνουσι
τοῖς ἀνέμοις καταποντισθῆ πάν-
τα χαλᾶσθαι διατιναχθέντα καὶ
δέξασθαι τὴν θάλατταν· οὕτω
τὴν ῥώμην· ὁ μὲν πρῶτος ἀρχ
καὶ δημιουργὸς ἐξ ἀγγέλων καὶ
βοηθῶν ὥσπερ ἐκ θεμελίων
κραταιῶν συνιστάμενος· οὐκ ὀλίγοις
πόνοις ἄχθει· οὐ μικροῖς ἀντη-
ρέσι πολεμίοις καὶ κινδύνοις ἐξ
ἀνάγκης ἀμυνόμενος τοὺς
ἀνθισταμένους πρὸς τὴν γένε-
σιν καὶ ἵδρυσιν αὐτῆς· ὁ δὲ δεύτερος

παραλαβών, χρόνον ἐπισχ-
ῆσαι καὶ βεβαιῶσαι τὴν αὔξησιν
τὴν ἀτυχίαν· ἐπιλαβόμενος
πολλῆς μὲν εἰρήνης, πολλῆς δ'
ἡσυχίας· ἢ ὁ τότε περισύρας τὸ
ἐπεμβαλὼν τυρρηνικὸν χάρακα
καὶ στρατόπεδον παραστήσας
τοῦ τάχους ἐχθροῖς ἐπὶ Κρα-
δαμνομενοις, ἤ τις ἐκ μακροῦ τοῦ
ἀποφάσας ἀριμαμῖος διώκας
ἢ Λάκωνος ὑπὸ φθόνου καὶ
φιλονικίας ἀνὴρ διάφορο-
ς πολεμοποιός, οἷος ἦν ἄφρον
μεθύϊλος ἢ σίλων ὁ θρασύτης,
ἢ τὸ ἔσχατον σύλλα παλαισμα.
ἢ τιμόθιμος, ὃς ἀφρένος ἐπιθη-
μέατος ὅλην ἐξοπλίζων τὴν
Ἰταλίαν· τὸν φιλόσοφον Νου-
μᾶν ὑβρίσας ἐλπίζε θύειν καὶ
πρὸς σὲ χωρεῖ· οὐκ ἂν ἀνασχεῖν
αἱ προφῆναι τῆς πόλεως ἀρχαί,

πρὸς σάλον καὶ κλύδωνα το-
σοῦτον· οὐδ' ἐς ἀνδρείαν καὶ
πλῆθος ἐπιδεδώκασιν· ἐγὼ δὲ
ἔοικε τῆς πρὸς τοὺς ἑσπερίους
πολέμους παρασκευῆς ἐφο-
δίου ῥωμαίοις, ἢ τότε ἠρημῆ-
σθαι· καὶ καθάπαξ ἀληθῆς
ὁ δῆμος, ἐκ τῶν κατὰ ῥωμύλ-
λον ἀγώνων· ἐν ἡσυχίᾳ χρόνον ἐτ-
ῶν καὶ τεσσαράκοντα σω- περὶ τὸν πόλεμον
μασκήσας τὴν δύναμιν ἀ-
ξιόμαχον καταστῆναι, τοῖς ὕ-
στερον ἀντιταττομένοις· οὐδὲ
γὰρ λιμὸν οὐδὲ λοιμὸν· οὐδ' ἀφο-
ρίαν γῆς· οὐδ' ἀπορίαν τινὰ
θέσεως· οὐδ' ἀφελείαν τινὸς
ἀθρόως ἢ χειμῶνος ἐν τῷ τότε
χρόνῳ παραλυπῆσαι τὴν
ῥωμαίων λέγουσιν· ὡς οὐκ ἂν
θεοφιλοῦς ἀβουλίας· ἀλλὰ θεί-
τύχης αὐτῇ τε προφοιτώσης τῶν

καιρῷ γ' ἐκείνῳ· ἐκλείσθη δ' οὐ
τότε καὶ τὸ τοῦ ἰανοῦ δίπυλον
ὃ πολέμου πύλην καλοῦσιν· ἀ-
νεῴγεσθαι γὰρ μὲν ὅταν ἡ πόλεμος·
κλείεσθαι δ' εἰρήνης γενομένης·
νουμᾶ δ' ἀποθανόντος ἀνεῴχθη
τοῦ πρὸς ἀλβανοὺς πολέμου συρ-
ραγέντος· εἶτα μυρίων ἄλλ-
ων ἐφεξῆς ὑπολαμβανόντων,
πάλιν δι' ἐτῶν ὀγδοήκοντα καὶ
τετρακοσίων ἐκλείσθη· μετὰ
τὸν πρὸς καρχηδονίους πόλεμον
εἰρήνης γενομένης, γαΐου ἀτι-
λίου καὶ τίτου ὑπατευόντων· μετὰ δὲ
τοῦτον τὸν ἐνιαυτὸν αὖθις ἀνε-
ῴχθη καὶ διέμειναν οἱ πόλεμοι
ἄχρι τῆς ἐν ἀκτίῳ νίκης καί-
σαρος· τότε δ' ἤργησε τὰ ῥωμαίων
ὅπλα χρόνον οὐ πολύν· αἱ γὰρ
ἀπὸ κανταβρῶν ταραχαὶ καὶ
γαλατίας συρραγεῖσαι γὰρ

μανοῖς, οἳ συνετάραξαν τὴν ἀρχήν·
ἀλλὰ ταῦτα μὲν ἀτυχίας τῆς
μουσικῆς, περιιστορῆσαι μαρτυρεῖ δὲ
τὴν δὲ τύχην καὶ οἱ μετ' ἐκεῖνον
ἐθαύμασαν βασιλεῖς· ὡς πρω-
τόπολιν καὶ τιθήνην· ὁ καὶ φερέπολ-
τῆς ῥώμης ἀληθῶς κατὰ πίν-
δαρον· ὅθεν εἰκότως θεωρεῖν·
ἱδρυμένην ἀρετῆς ἐν ῥώμῃ τι-
μώμενον, ὃ οὐιρτοῦτις αὐτοὶ
καλοῦσιν· ἀλλ' ὀψέ τε καὶ μετὰ
πολλοῖς χρόνοις ἱδρύθεν ὑπὸ
μαρκέλλου τοῦ συρρακούσας
ἑλόντος· ἔτι δὲ γνώμης· ἢ νὴ
δία εὐβουλίας νεὼς· ἣν
μένθεμα καλοῦσιν· ἀλλὰ καὶ
τοῦτο σκαῦρος αἰμίλιος περὶ
τὰ κιμβρικὰ τοῖς χρόνοις γε-
γονὼς καθιδρώσεν· ἤδη τότε
λόγων καὶ σοφισμάτων καὶ
στωμυλίας ἐπιρρυείσης ἐς τὴν

πόλιν παρεισιούσης· σοφίας
δ' ἔτι καὶ νεὼν ἵδρυμα οὐκ ἔχουσιν
οὐδὲ σωφροσύνης οὐδὲ καρ-
τερίας· οὐδὲ μεγαλοψυχίας.
ἀλλὰ τά γε τῆς τύχης ἱερὰ
πολλὰ καὶ παλαιὰ καὶ λαμπρὰ
τιμαῖς πᾶσιν ὡς ἔπος φάναι
ἐνίδρυται καὶ καταμέμικται
τοῖς ἐπιφανεστάτοις μέρεσι καὶ
τόποις τῆς πόλεως· καὶ τὸ μὲν
τῆς ἀνδρείας τύχης ἱερὸν· ἀπὸ
μαρκίου ἄγκου τοῦ τετάρτου
βασιλέως ἱδρυθὲν καὶ ὀνομασθὲν
οὕτως, ὅτι πλεῖστον ἀνδρείας ἡ
τύχη εἰς τὸ νικᾶν μετέσχηκεν·
τὸ δὲ τῆς γυναικείας αὖθις ἀπὸ
τῶν γυναικῶν· αἳ μάρκιον κο-
ριολᾶνον ἀπέστρεψαν, ἐπά-
γοντα τῇ ῥώμῃ πολεμίους
καθοσιωθὲν· οὐδεὶς ἀγνοεῖ· σε-
βῖος δὲ τύλλιος [illegible] ἀνὴρ τῶν

βασιλέων μάλιστα καὶ τὴν δύ
ναμιν αὐξήσας τοῦ δήμου,
καὶ τὸ πολίτευμα κοσμήσας
καὶ τάξιν μὲν ἐπιθεὶς ταῖς
ψηφοφορίαις· τάξιν δὲ ταῖς
στρατείαις· τιμητὴς δὲ πρῶτος
καὶ βίων ἐπίσκοπος καὶ σωφροσύ
νης γενόμενος· καὶ δοκῶν ἀνδρειότα-
τος εἶναι καὶ φρονιμώτατος, αὐ
τὸς ἑαυτὸν ἐς τὴν τύχην ἀνῆπτε
καὶ ἀνεδεῖτο τὴν ἡγεμονίαν ἐξ
ἐκείνης· ὥστε καὶ συνεῖναι δοκεῖν
αὐτῷ τὴν τύχην διά τινος θυ
ρίδος καταβαίνουσαν εἰς τὸ δω-
μάτιον· ἣν νῦν φαινεστέλλαν
πύλην καλοῦσιν· ἱδρύσατο
δ' οὖν τῇ τύχῃ ἱερὸν ἐν μὲν
καπιτωλίῳ, τὸ τῆς πριμι-
γενείας λεγομένης· ὃ πρωτογόνου
τις ἂν ἑρμηνεύσειε· καὶ τὸ
τῆς ὀψε κουέντης· ἣν οἱ μὲν

πρυθήνιον· οἱ δὲ μειλίχιον ἀμμώ
νομίζουσι· μᾶλλον δὲ τὰς ῥωμα
ϊκὰς ἐάσας ὀνομασίας, ἐπὶ
τὰς δυνάμεις τῶν ἱδρυμάτων
παρέσομαι καταριθμήσασθαι
καὶ γὰρ ἰδίας τύχης ἱερόν ἐστιν
ἐν παλατίῳ· καὶ τὸ τῆς ἰξευ
τρίας, εἰ καὶ γελοῖον, ἀλλ' ἔχον
ἐκ τῆς μεταφορᾶς ἀναθεώρησιν
οἷον ἑλκούσης τὰ πόρρω καὶ
κρατούσης συμπροσισχόμενα·
παρὰ δὲ τὴν μοισικῶσαν κα
λουμένην κρήνην· ἔτι παρθέ
νου τύχης ἱερόν ἐστιν· ἐν δὲ ἐσκυ
λίναις ἐπιστρεφομένης· ἐν δὲ τῷ μα
κρῷ στενωπῷ, τύχης βωμὸς
ἀελπίδος, ἢ ὡς ἐλπίδος· ἔστι
δὲ παρὰ τὸν τῆς ἀφροδίτης ἐπι
ταλαρίου βωμὸν ἄρρενος τύχης
ἕδος· ἄλλαι τε μυρίαι τύχης τι
μαὶ καὶ ἐπικλήσεις, ὧν τὰς πλεί

σερουΐας κατέστησεν· ἴσως ὅτι
μεγάλη ῥοπή· μᾶλλον δὲ ὅλον ἡ
τύχη παρὰ πάντα ἐστὶ τὰ τῶν
ἀνθρώπων πράγματα· καὶ μάλιστα
τὸ αὐτὸν διὰ τύχην ἐξ αἰχμα-
λώτου ἐν πολεμίοις γένους, βα-
σιλέα ἀναδειχθέντος· τοῦ γὰρ
Κορνικλανῶν ἄστεος ἁλόντος ὑπὸ
ῥωμαίων· ὀκρησία παρθένος
αἰχμάλωτος· ἧς οὐδὲ τὴν ὄψιν
οὐδὲ τὸν τρόπον ἠμαύρωσεν ἡ τύ-
χη· δοθεῖσα Τανακυλλίδι, τῇ
Ταρκυνίου γυναικὶ τοῦ βασιλέως
ἐδούλευε· καί τις ἔγημεν
αὐτὴν· οὓς κλιέντας ῥωμαῖοι κα-
λοῦσιν· ἐκ τούτων γεγονὼς σερ-
βίλιος· οἱ δὲ οὔ φασιν· ἀλλὰ
παρθένον τὴν ὀκρησίαν ἀπαρχὰς
καὶ λοιβὴν ἑκάστοτε
λαμβάνουσαν ἀπὸ τῆς βασι-
λικῆς τραπέζης ἐπὶ τὴν ἑστίαν

Κρησίαν. Καὶ ποτὲ τυχεῖν μὲν
αὐτὴν ὥσπερ ἔθος ἦν περὶ τὰς
ἀπαρχὰς ἐπιβάλλουσαν. ἀφνι-
δίου δὲ τῆς φλογὸς μαρανθείσης,
μόριον ἀνδρὸς ἀναπτῆναι γόνιμον
ἐκ τῆς ἑστίας. Καὶ τοῦτο τὴν Κρ(ησίαν)
τῇ Τανακυλλίδι φράσαι μόνην. περί-
φοβον γενομένην. τὴν δὲ συνετὴν
οὖσαν καὶ φρονίμην κοσμῆσαι τὴν
Κρησίαν ὅσαι νύμφαις πρέπουσι.
καὶ συγκαθεῖρξαι τῷ φάσματι θεῖ-
ον ἡγουμένην. οἱ μὲν ἥρωος
οἰκουροῦ λέγουσιν. οἱ δὲ Ἡφαί-
στου τὸν ἔρωτα τοῦτον γενέσθαι.
τίκτει δ' οὖν Σερούϊον. Καὶ
βρέφους ὄντος ἡ κεφαλὴ σέλας
ἀστραπῇ παραπλήσιον ἀπήστρα-
ψεν. οἱ δὲ περὶ Ἀντίαν οὐχ οὕτω
λέγουσιν. ἀλλὰ τυχεῖν μὲν τῷ
Σερουΐῳ τὴν γυναῖκα Γεγανίαν
θνήσκουσαν. αὐτὸν δὲ τῆς μητρὸς

παρούσης, ὡς ἐπ᾽ ὄνομον ἐκ δυσθυ-
μίας ἢ λύπης ἀποκλιθῆναι.
Καὶ καθεύδοντος αὐτοῦ, ταῖς γυ-
ναιξὶν ὀφθῆναι τὸ πρόσωπον αὐ-
τοῦ πυρὶ περιλαμπόμενον· ὅπως
ἦν μαρτύριον αὐτῷ τῆς ἐκ πυ-
ρὸς γενέσεως· σημεῖον δὲ χρηστὸν
ἐπὶ τὴν ἀπροσδόκητον ἡγεμο-
νίαν ἧς ἔτυχε μετὰ τὴν Ταρκυ-
νίου τελευτὴν Τανακυλλίδος σπου-
δασάσης· ἐπεὶ πάντων γε τῶν
βασιλέων πρὸς μοναρχίαν οὗτος
ἀφυέστατος δοκεῖ γενέσθαι· καὶ
ὅσγε ἀπροθυμότατος, ὅσγε τὴν βα-
σιλείαν ἀποθέσθαι διανοηθεὶς
ἐκωλύθη· Τελευτῶσα γὰρ
ὡς ἔοικεν ἐξώρκωσε τοῦτον ἐμ-
μεῖναι τῇ ἀρχῇ· καὶ προσέθη
τὴν πλείον Ῥωμαίων πολιτ.
οὕτως ἡ Σερουΐου βασιλεία· πάν-
τα πᾶσι τῆς τύχ. ἣν τῆς τύχης ἦν,

ἔλαβέ τε μὴ προσδοκήσας καὶ
μὴ βουλόμενος διεφύλαξεν.
ἀλλ' ἵνα μὴ δοκῶμεν ὥσπερ εἰς
τόπον ἀμετρίᾳ τὸν παλαιὸν χρόνον
ἐκ τῶν λαμπρῶν καὶ ἐκ τῶν
ἐναργῶν τεκμηρίων φεύγειν καὶ
ὑποχωρεῖν· φέρε τοὺς βασιλεῖς
ἐάσαντες, ἐπὶ τὰς γνωριμω
τάτας πράξεις· καὶ τοὺς ἐπι
φανεστάτους πολέμους, τὸν λό-
γον ἀγάγωμεν· οἷς πολλὴν τόλ ἢ μὴ ἀγάγωμεν.
μαν καὶ ἀνδρείαν, πρὸς δὲ αἰδῶ τ'
ἀρετὰς δορυμάχου, ὥς φησι
Τιμόθεος· τίς οὐκ ἂν ὁμολογή
σειεν· ἡ δ' εὔροια τῶν πραγμάτων
καὶ τὸ ῥόθιον τῆς εἰς αὐτὴν δύνα
μιν καὶ αὔξησιν ὁρμῆς· οὐ χερσὶν
ἀνθρώπων, οὐδ' ὁρμαῖς προχωροῦσαν
ἡγεμονίαν· θείᾳ δὲ πομπῇ καὶ
πνοῇ τύχης ἐπιταχυνομένης
ἐπιδείκνυται· τοῖς ὀρθῶς λο-

γιζομένοις· τὰ πάντα τὰ Ῥωμαίοις ἐπα-
νίσταται· καὶ θρίαμβοι θριάμβοις
ἀπαντῶσι· καὶ τὸ πρῶτον αἷμα
τῶν ὅπλων ἔτι θερμὸν ἀποκλύ-
ζεσθαι τῷ δευτέρῳ καταλαμ-
βανομένου· τὰς νίκας ἀριθμοῦσιν
οὐ νεκρῶν πλήθει καὶ λαφύρων,
ἀλλὰ βασιλείαις αἰχμαλώτοις·
καὶ δεδουλωμένοις ἔθνεσι· καὶ
νήσοις καὶ ἠπείροις προσοριζο-
μέναις τῷ μεγέθει τῆς ἡγεμο-
νίας· μία μάχη Φιλίππου
κατέβαλε Μακεδονίαν· μία
πληγὴ παρεχώρησεν Ἀντίοχος
Ἀσίας· ἅπαξ Καρχηδόνιοι σφα-
λέντες, ἀπώλεσαν Λιβύην·
εἷς ἀνὴρ μιᾶς ὁρμῆς στρατείᾳ
Ἀρμενίαν προσεκτήσατο· Πόντ-
ον Εὔξεινον· Συρίαν· Ἀραβίαν· Ἀλ-
βανοὺς Ἴβηρας· τὰ μέχρι Καυ-
κάσου καὶ Ὑρκανῶν· καὶ τρὶς

αὐτῇ, ὁ τοῦ βορρέως τὴν οἰκου-
μένην ὠκεανὸς ὅδε νικῶν-
τα· νομάδας τε ἐν λιβύῃ με-
χρὶ τῶν μεσημβρινῶν ἀπε-
κρύψαν ἠϊόνων. ἰβηρίαν δὲ
σερτωρίῳ συννοσήσασαν,
ἄχρι τῆς ἀτλαντικῆς κατε-
στρέψατο θαλάττης· τοὺς δὲ
ἀλβανῶν βασιλεῖς διώκομεν
ἄχρι τὸ κάσπιον πέλαγος ἔστησε·
ταῦτα πάντα κατώρθωσε δη-
μοσίᾳ τύχῃ χρώμενος· εἶτα
ὑπὸ τῆς ἰδίας ἀπεσφάλη
μοίρας· ὁ ῥωμαίων μέγας
δαίμων· οὐκ ἐφήμερον πνεύσας,
οὐδὲ καιρὸν ἀκμάσας βρα-
χὺν ὡς ὁ μακεδών· οὐδὲ χερ-
σαῖος μόνος ὡς ὁ λακώνων·
οὐδὲ ἐνάλιος ὡς ὁ ἀθηναίων·
οὐδ᾽ ὀψὲ κινηθεὶς ὡς ὁ περσῶν.
οὐδ᾽ ταχὺ παυσάμενος ὡς ὁ κολο-

φωνίων· ἀλλὰ ἄνωθεν ἐκ πρώ-
των γενεῶν τῇ πόλει συνη-
βήσας καὶ συναυξηθεὶς καὶ συμ-
πολιτευσάμενος· καὶ πρὸς ἅμα φίλ
βέβαιος ἐν γῇ καὶ ἐν θαλάσσῃ· καὶ
πολεμίοις καὶ εἰρήνῃ· καὶ πρὸς
βαρβάροις καὶ πρὸς Ἕλλησιν.
οὗτος πρὸς Ἀννίβαν τὸν Καρ-
χηδόνιον· φθόνῳ καὶ ταῖς πο-
λιτικαῖς χρείαις μηδενὸς οἴκοθ(εν)
ἐπιρρέοντος· ὥσπερ χείμαρρ(ος)
ἐξέχεε καὶ κατανάλωσε πολί-
των Ἰταλίας· οὗτος τὸ Κίμ-
βρων καὶ Τευτόνων στράτευμα
μεγάλοις διαστήμασι τόπων
καὶ χρόνων· ἐχώρισε καὶ διασπάσας·
ἵν᾽ ἀρκέσῃ Μάριος ἑκατέροις
ἀνὰ μέρος μαχομένοις· καὶ
μὴ συμπεσοῦσαι τριάκοντα
μυριάδες ἀνδρῶν ἀηττήτων
καὶ ἀμάχων ὅπλων ὁμοῦ κατα-

καὶ

λύσωσι τὴν ἰταλίαν· διὰ
τοῦτο ἀντίοχος μὲν ἠσχολεῖτο
πολεμουμένου φιλίππου·
φίλιππος δὲ κινδυνεύων ὅρου ἔτος
ἀντιόχου· περιηττημένος ἐ
πίστευε· μεθειδάπτων δὲ τοῦ
παροικῶν πολέμου τὴν ῥώμ
ην ἀφλέγοντες, οἱ σαρματικοὶ
καὶ βαρβαρικοὶ πόλεμοι κατὰ
τὸ γράφειν δὲ μεθειδάφυλάμ-
πορεύμενον οὗτος ὑπομονῆς καὶ
φθόνος ἐχώριζεν· ἠπειρώτῳ
δὲ, ἀνεμείξεν ἑαυτῷ σώματο-
λῆφθαι· τί δ' οὐχὶ καὶ πρὸς τὰς
μεγίστας συμφορὰς, ὤρθου
τὴν πόλιν ἡ τύχη; κελτῶν
μὲν περὶ τὸ καπετώλιον
στρατοπεδευόντων καὶ πολι-
ορκούντων τὴν ἀκρόπολιν,
» μόνον ἀνὰ στρατὸν ὦρσε κα-
» κὴν ὀλέκοντο δὲ λαοί· τὴν

ἐκπαύσιον

δὲ νυκτὸς εἶναι ἔφοδον αὐτῶν
λεληθότως παθόντας ἀνοίᾳ,
ἢ τύχῃ ἢ τὸ αὐτόματον ἐκπαισιωτ-
ἐποίησε γενέσθαι· πολλῆς καὶ
ἐν βραχεῖ πολλῷ διελθεῖν πίστως
οὐκ ἂν καὶ ἐρρωμένοι· μετὰ τῶν
ἐκ Γαλλίας πολεμίων ῥωμαῖοι
μεγάλην ἧτταν· οἱ μὲν εἰς
ῥώμην καταράντες, ὑπὸ
τῆς φυγῆς τε καὶ ταραχῆς συν-
αναπλήσαντες τὸν δῆμον,
ἐξεπλήσαντο καὶ διὰ τὸ κ' ἔδασαν
ὀλίγοι μὲν εἰς τὸ καπετώλιον
ἀνασκευασαμένων καὶ διὰ
καρτερούντων· οἱ δὲ ἄλλοι
ἀπὸ τῆς ῥώμης εἰς βηΐους συν-
αθροισθέντες. Βρέννος δὲ κ-
τὰ πάντα φονεύων Καμίλλ-
ον ἀτυχοῦν μὲν καὶ ὑπαχ-
μῶν ὁ δῆμος ἀπεσέσειστο καὶ
κατέβαλε δὲ καὶ πολιτοῦντα

δημοσίων κλοπῶν. πτήξας
δὲ καὶ ταπεινωθεὶς ἀνεκαλεῖτο
μετὰ τὴν ἧτταν. ἀλλ' εἴκων
καὶ παραδιδούς, ἀντεπεθύμουν
ἡγεμονίας. ἵνα οὖν μὴ καὶ
ῥᾳδίως δοκῇ. νόμῳ ὁ λαμβάνειν
ὁ ἀνήρ. μὴ δοὺς ἀπεγνωκὼς
τὴν πόλιν ὅπλοις, ἀρχαιρεσίαι
ἀξιῆ τὰ στρατοῦ καὶ πλῆθος
ἔδει τοῖς ἐν Καπετωλίῳ προ-
βουλεύσαντας. ἐπιψηφίσασθαι
τὴν τῶν στρατιωτῶν γνω-
μένουσας. ἦν οὖν Γάιος Πομ-
πτίος ἀνὴρ ἀγαθὸς καὶ τῶν
δεδογμένων αὐτάγγελος. ὃς ὑ-
ποστὰς ἐλθεῖν τοῖς ἐν Καπε-
τωλίῳ, μέγαν ἀνεδέξατο κίν-
δυνον. ἡ γὰρ ὁδὸς ἦν διὰ τῶν
πολεμίων κύκλῳ φυλακαῖς
καὶ χαρακώσει τὴν ἄκραν περιε-
χόντων. ὡς οὖν ἐπὶ τὸ πο-

Φήμιος πλατὺς

τα μὲν ἦλθε νύκτωρ. Φήμιος
πλατὺς ὑποφορμισάμενος
καὶ τὸ σῶμα τῇ κουφότητι τοῦ
σχήματος παραθέμενος,
ἀφῆκε τῷ ῥόῳ τειχῶν, παρ' οὗ
καὶ σχολαίως ὑποφέροντος,
ἥψατο τῆς ἀντιπέρας ὄχθης
ἀσφαλῶς. καὶ ἀποβὰς ἐχώρει
πρὸς τὸ τῶν φώτων διακείμ-
τῷ τε σκότει καὶ τῇ σιωπῇ τὴν
ἠρεμίαν τεκμαιρόμενος.
ἐμφὺς δὲ τῶν κρημνῶν, καὶ ταῖς
δεχομέναις τὴν ἀνάβασιν
καὶ παρεχούσαις ἀντίληψιν
ἐγκλίσεσι καὶ ὀξείαις γωνίαις
καὶ βραχύτησι τῆς πέτρας
παραδιδοὺς ἑαυτόν, καὶ ἐπορευ-
σάμενος, ἐξίκετο πρὸς τὸ
ἀντίπερας. καὶ ἀναληφθεὶς
ὑπὸ τῶν φυλάκων, ἐδήλω-
σε τοῖς οἰκείοις τὰ δεδογμένα

Καὶ λαβὼν τὸ ψήφισμα πάλιν
ᾤχετο πρὸς τὸν Κάμιλλον. ἡ-
μέρας δὲ τῶν βαρβάρων τις
ἀλύας τὸν τόπον περιϊὼν
ὡς εἶδε τοῦτο μὲν ἴχνη ποδῶν
ἀκρώνυχα καὶ προσολισθήσεις·
τοῦτο δ' ἀποτριβὰς καὶ περικλά-
σεις τῆς ἀποβλαστανούσης
τοῖς γεώδεσι πόας· ὁλκάς τε
σώματος πλαγίους καὶ ἀπε-
ρείσεις· ἔφραζε τοῖς ἄλλοις· οἱ δὲ
συγκινηθῆναι τὴν ὁδὸν αὐτοῖς
ὑπὸ τῶν πολεμίων νομί-
ζοντες, ἐπεχείρουν ἁμιλλᾶσθαι·
καὶ τῆς νυκτὸς τὸ ἐρημότα-
τον διαφυλάξαντες, ἀνέβη-
σαν λαθόντες· οὐ μόνον τοὺς
φύλακας ἀλλὰ καὶ τοὺς φρου-
ροὺς κύνας, ὕπνῳ κρατηθέν-
τας· οὐ μὴν ἠπόρησεν ἡ τῆς
Ῥώμης τύχη φωνῆς τὸ μη-

ῥῆσαι δυνάμει· χῆνες ἱεροὶ
περὶ τὸν νεὼν τῆς Ἥρας ἐτρέ-
φοντο ἀβρ[illegible]όντα τῇ
θεῷ· φύσει μὲν οὖν τὸ ζῷον
ἀθορύβητον ἀεὶ καὶ ψοφοδεές.
τότε δὲ σιτοπόνου περὶ τοὺς ἔνδον
οὔσης ἀπορίας· ἀμελουμένων
αὐτῶν, λεπτὸς μὲν καὶ λιμώδης ὁ
ὕπνος· ὥστε ἀθροῦς ἤσθοντο τῶν
πολεμίων ὑπερφανέντων
τῆς στεφάνης· καὶ καταβοῶν
τὸ ἰταμέως προσεφόρου· καὶ
τῇ τῶν ὅπλων ὄψει μᾶλλον ἐκ-
ταραττόμενοι· καὶ τῆς διαπόνου
καὶ ἐγχείρας ἐμπεπληκόταις
τὸν τόπον, ὑφ᾽ ἧς ἀναστάντες
οἱ φυλάσσοντες καὶ συμβαλόν-
τες τὸ γινόμενον, ἐώσαντο
τοὺς πολεμίους. πομπεύει
δὲ μέχρι νῦν ἡ τύχη τῶν τότε
συμπτωμάτων· κύων μὲν

ἀναςαυρώμενος· χρὴ δὲ μάλι-
στα σεμνῶς ἐσθῆτι στρεφομένης πολυ-
τελοῖς καὶ φορτίου καθήμενος·
ἡ δὲ ὄψις ἐσθῆτι δὲ κοινοῦ ζῆν, τύχης
ἰσχὺν καὶ πρὸς ἅπασαν ἀπορίαν
ἐκ τῶν παραλόγων· ὅταν τι
πραγματεύηται καὶ στρατηγῇ·
τοῖς μὲν ἀλόγοις καὶ ἀφόβοις δει-
λίαν· τοῖς δὲ γενναίοις καὶ λελο-
γισμένοις, ἀλκὴν καὶ θάρσος ἐν-
τιθείσης· τίς γὰρ οὐκ ἂν ὡς ἀλη-
θῶς ἐκπλαγείη καὶ θαυμάσειεν
ἐμπαθὴς γενόμενος· καὶ λογισά-
μενος τίνι τὴν τότε κατήφει-
αν καὶ τὴν ὑπάρχουσαν εὐδαιμο-
νίαν τῆς πόλεως περιελθὼν
καὶ ἀποβλέψας ἄνω λαμπρό-
τητα, καὶ πλοῦτον ἀναθημάτων
καὶ τεχνῶν ἁμίλλας· καὶ φιλο-
τιμίας πόλεων· καὶ στεφάνους
βασιλέων· καὶ ὅσα γῆ φέρει καὶ

θάλαττα καὶ νῆσοι καὶ ἤπειροι καὶ
ποταμοὶ καὶ δένδρα· καὶ ζῶα
καὶ πεδία καὶ ὄρη καὶ μέταλλα τοσού-
των ἀπαρχὰς βρύουσας εἰς κάλλος,
ὄψει καὶ χάριτι κοσμοῦσι τὸν
τόπον· ὥστε ταῦτα παρὰ μικρὸν
ἦλθε, μὴ γίνεσθαι μηδὲ εἶναι·
ὑπ' εἴληθε σκότει φοβερῷ, καὶ
ὀρφνῇ καὶ ξίφει, βαρβάροις καὶ
μιαιφόνοις θυμοῖς κρατούμενα
πάντων, ἀτελῆ καὶ ἄλογα καὶ
ἄτολμα θρέμματα, θείας
ἀρχῆς παρέσχεν· καὶ τοῖς με-
γάλοις ἐκείνοις ἀρισταῖς καὶ ἡγεμόσι-
μαλίοις καὶ οὐρανίοις καὶ προσου-
σίοις καὶ παππιείοις· τῶν αὐτοῦ
οἴκων γενεάρχας, παρ' οὐδὲν
ἥκοντας ἀπολέσθαι· χρῆναι
ἀναστῆσαι ὑπὲρ τοῦ πατρίου
θεοῦ καὶ τῆς πατρίδος ἀμείβεσθαι·
ἰδὲ ὁ ὑπὲρ Πολύβιος ἐν τῇ

ὁ Ἀριστοτέλης βιβλίῳ περὶ τῶν τότε
τὴν Ῥωμαίων πόλιν καταλα-
βόντων ἱστόρηκε Κελτῶν· ἀλη-
θές ἐστιν, ὅτι προσαποστήσαν-
τοῖς ἀγγελίαις, φθαρῆναι τὰ
οἰκεῖα τῶν προσοίκων βαρβάρ-
ων ἐμβεβληκότων ἐς τὴν χώραν
καὶ κρατούντων· ἀνεχώρησαν
εἰρήνην θέμενοι πρὸς τὸν Κάμιλλον.
οὐδὲ ἀμφισβητήσιμόν ἐστι πρὸς
τὴν τύχην· οὐχὶ τῆς στρατείας αἰτία
κατὰ τύχην, περισπάσασα τοὺς
πολεμίους μᾶλλον ἢ ἀποσπά-
σασα τῆς Ῥώμης ἀπροσδοκήτως.
ἄλλο τι δὲ περὶ ταῦτα δια-
βεβαιοῦν, ἀσαφὲς οὐδέν, οὐδὲ
ὡρισμένον ἐστί· τοῦτο καὶ τὰ
πράγματα διαφθαρῆναι
τῶν Ῥωμαίων καὶ συγχυθῆναι
τοῖς ὑπ' αὐτῶν ὑπομνηματισ-
μοῖς, ὡς Λίβιος ἱστόρηκε· τὰ

γὰρ ἰσχυρὸν μᾶλλον ὄντα δηλοῖ
καὶ καταφανῆ, ἐγκυρῆσαι τὴν τύχ(ην)
ἀμείνονα· ἐγὼ δέ τι βούλομαι καὶ
τὴν ἀλεξάνδρου ἐπίστασιν. ἄν-
δρὸς ἀτυχήμασι μεγάλοις καὶ
κατορθώμασι λαμπροῖς. ὑ-
πὸ θάρσους ἀμάχου καὶ φρονήματος
ὥσπερ ἀστέρος φορᾷ καὶ διᾴττον-
τος ἐπὶ δυσμὰς ἐξ ἀνατολῶν·
καὶ βάλλοντος ἤδη τὰς τῶν ὅπλων
αὐγὰς ἐπὶ τὴν ἰταλίαν. πρό-
φασις μὲν ἦν αὐτῷ τῆς στρατείας
ὁ μολοττὸς ἀλέξανδρος. ὑπὸ
βρεττίων καὶ λευκανῶν περὶ παν-
δοσίαν κατακεκομμένος·
ὁ δ᾽ ἄγων αὐτὸν ὡς ἀληθῶς ὁ πάν-
τας ἀνθρώπους δόξης ἔρως καὶ
ἡγεμονίας, ζῆλον ἔχων ὑπερ-
βαλέσθαι τὰ διονύσου καὶ
ἡρακλέους πέρατα τῆς στρα-
τηλασίας. τῆς δ᾽ ἰταλίας ἐπυν-

θανάτου τῷ ἐν ῥώμῃ δὲ ἐπαμ
καὶ ἀλκῇ· ὥσπερ πρόσωμα
περιτεταγμένην· ὄνομα γὰρ
καὶ δόξα τούτων ἐπιφανεστάτη
διεπέμπετο πρὸς αὐτήν· ὡς
ὑπὸ ἀθλητῶν μυρίοις ἐπεξυ-
γυμνασμένων πολέμοις· οὐδὲ
ἀναιμωτί γε διακριθησόμεναι
οἴω· συμπεσόντων ὅπλοις
ἀνικήτοις φρονήματι τῶν ἀδου-
λώτων· πλῆθος μὲν γὰρ ἦσαν
οὗτοι, τρεῖς καὶ δέκα μυριάδες
οὐκ ἐλάττους· πολεμικοὶ δὲ
καὶ ἀνδρώδεις ἅπαντες, ἐπιτήδει-
οι μὲν ἀφ' ἵππων ἀνδράσι
μάρνασθαι· καὶ ὅπῃθι χρὴ πε-
ζοὶ ὄντα :—

Τὸν Τυρταῖον ὁ Λεωνίδας
ἐρωτηθεὶς, ποῖόν τινα νομίζοι
ἀγαθὸν ποιητὴν ἔφη, νέων ψυ-
χὰς καλλύνειν· ὡς τοῖς μὲν οἷς διὰ
τῶν ἐπῶν ὁρμὴν ἐμποιοῦντα
μετὰ θυμοῦ καὶ φιλοτιμίας
ἐν ταῖς μάχαις, ἀφειδοῦσιν
αὑτῶν. Ἀλλ' ἔδεισα δὴ ὦ φίλοι,
μὴ καὶ τὸ τῆς κυνηγεσίας ἐγ-
κώμιον ἐχθὲς ἀναγνωσθὲν
ἐπάρῃ τοῦ μετρίου πέρα τοὺς
φιλοθήρους ἡμῖν νεανίσκους.
ὥστε τὰ ἄλλα πάρεργα, καὶ τὸ μη-
δὲν ἡγεῖσθαι, πρὸς τοῦτο πάν-
τα πᾶσι ῥύψαντας· ὅπου δοκῶ
μοι καὶ αὐτὸς ἐκ νέας αὖθις ἀρχῆς
παρ' ἡλικίαν ἐμπαθὴς [illegible] γε-

Γοργίαι καὶ ποῦ, ὦ πόθεν ἥκα
εἰ σὺ ἰδοῦ Φαίδρα, κἂν ἴθωὔξαι
βαλιαῖς ἐλάφοις ἐπιδρομαντὸς
οὕτως ἐθίζεμοι πυκνὰ καὶ
πιθανὰ τῶν ἐπιχειρημάτων
ἐπάγων ὁ λόγος· ἀληθῆ λέγ-
ω ἀὐτὸ βούλει· καὶ γὰρ ἐμοὶ ἔ-
δοξέ μοι τὸ ῥητορικὸν ἔνθεν
διὰ χρόνου χαρίζομαι· ὡς σύνε-
ρίζων τοῖς μειρακίοις· μάλι-
στα δὲ ἡσθέω τοῖς μονομάχοις
αὐτοῦ παραθέντος ὡς οὐ χηκίστ-
τίω θηρατικὴν ἀξίου ἔπαιν
ὅτι τοῦ πεφυκότος ἐν ἡμῖν
ἢ μεμαθηκότος χαίρημα
ἀνδρῶν πρὸς ἀλλήλοις διὰ σι-
δήρου τὸ πολὺ ἀποτρέψα-
σα. καθαρὰν παρέχει θέαν· ἄ-
μα τέχνης καὶ τόλμης· νόσω
ἐχούσης πρὸς ἄνοητον ἰσχὺν
καὶ βίαν ἀντιτάττεσθαι καὶ ἐπαι-

μοιώσης τὸ ἀριπίδημον· ἢ βρα-
χύ τι παθέντος ἀνδρός· ἀλλὰ ποι-
κίλαις· περιπιθῶν δαιμονῶν
φῦλα πόντου· χθονίων τε ἅ-
μα τε παιδεύματα· κἀμὲ
ἐκεῖθεν ὦ φίλε σώκλαρε φασὶν
ἥκειν ἐθάδας τὴν ἀπάθειαν
καὶ τὴν ἀγριότητα γευσαμένους
φόνου· καὶ προεθισθέντας ἐν τῇ
ἄγραις καὶ τοῖς κυνηγεσίοις·
αἷμα καὶ τραύματα ζώων μὴ
δυσχεραίνειν· ἀλλὰ χαίρειν
σφαττομένοις καὶ ἀποθνήσκουσιν.
Εἶθ' ὥσπερ ἐν ἀθήναις πρῶτος
τις ὑπὸ τῶν τριάκοντα συκοφάντης
ἀποθανὼν, ἐπιτήδειος ἐλέχθη·
καὶ δεύτερος ὁμοίως καὶ τρίτος· ἐκ
τούτου δὲ κατὰ μικρὸν ἤδη προϊ-
όντες· ἥπτοντο τῶν ἐπιεικῶν·
καὶ τέλος οὐδὲ τῶν ἀρίστων ἀπε-
σχοντο πολιτῶν· οὕτως ὁ πρῶτος

ἄρκτον ἀνῃρηκὼς ἢ λύκον ἀδικού-
μενος· καὶ βοῦς τις ἢ σῦς αἰτίαν
τις ἔχει προκειμένων ἱερῶν
γευσάμενος, ἐπιτήδειος ἀποθανεῖν.
ἔλαφοι δὲ, πόσιν τὰ θεμιτὰ ἤδη καὶ
λαγωοὶ καὶ δορκάδες ἐσθίονται· προ-
βάτων καὶ κυνῶν ἐνιαχοῦ καὶ
ἵππων κρέα προσεξήνησαν· τι-
θασοῦ δὲ χῆνα καὶ περιστερὰν
ἐφεστίου, οἱ κατὰ τὸν Σοφοκλῆν,
οὐχ ὡς γαλαῖ καὶ αἴλουροι τροφῆς
ἕνεκα διὰ λιμὸν, ἀλλ' ἐφ' ἡδονὴν
καὶ ὄψον διασπῶντες καὶ κατακό-
πτοντες, ὅσον ἐπὶ τῇ φύσει φονικὸν
καὶ θηριῶδες ἔρρωσαν· καὶ πρὸς
οἶκτον ἀκαμπὲς ἀπειργάσαντο·
τοῦ δὲ ἡμέρου τὸ πλεῖστον ἀπημ-
βλύναν· ὥσπερ δ' αὖ πάλιν οἱ Πυ-
θαγορικοὶ τὴν πρὸς τὰ θηρία
πραότητα μελέτην ἐποιήσαντο
πρὸς τὸ φιλάνθρωπον καὶ φιλοικτίρμον

ἡ γὰρ συνήθεια, ὅ φημι, τοῖς κατὰ
μικρὸν ἐνοικειουμένοις πάθεσι· πόρ-
ρω προαναβαίνειν τὸν ἄνθρωπον· ἀλλ᾽ οὐκ
οἶδ᾽ ὅπως ἐν λόγοις γενόμενοι
λελήθαμεν, οὔτε τῶν χθὲς ἡμῖν
γεγονότων, οὔτε τῶν τάχα δὴ
γενησομένων σήμερον ἀπηρ-
τημένοι· καὶ γὰρ ἐχθὲς ὡς
οἶσθα μετέχειν ἀμωσγέπως
πάντα τὰ ζῷα διανοίας καὶ
λογισμοῦ παρεχόμενοι οὐκ ἄ-
μουσον οὐδὲ ἄχαριν τοῖς θηρα-
τικοῖς νεανίσκοις περὶ συνέσεως
θηρίων ἐνάλων τε καὶ πεζῶν
ἀεὶ λέγειν· ἣν σήμερον ὡς ἔοικε
βραβεύσομεν· ἤν γε δὴ ταῖς
προκλήσεσιν οἱ περὶ Ἀριστότιμον
καὶ Φαίδιμον ἐμμένωσιν· ἐκεί-
νων γὰρ ὁ μὲν, τῆς γῆς ὡς δια-
φέρουσαν τῷ φύειν ζῷα γεννώσης
ἐπεδίδου τοῖς ἑταίροις συνήγορ-

ἑαυτῶν· ὅσον τῆς θαλάττης· ἡμεῖς
μὲν νοοῖμεν ὦ Αὐτόβουλε καὶ ὅσον
οὔπω πάρεστι· σώματα ὁ μὲν
γὰρ αὐτῆς ἔσωθεν ἐώρων· ἀλλὰ
ἡ βουλὴ πρὸ τοῦ ἀσώματος ὅσα τε
ἀληθῆ λόγοις προσήκουσι λεχθῆναι
καιρὸς οὐκ ἀφῆκεν· ἡ σὴ οἰκεία καὶ
παρὰ πότον· οὐ μικρᾶς σπουδῆς
ἐλέχθη πρὸς αὐτοῖς· ἀναλάβωμεν
ἐδόκει γάρ τι πραγματικὸς
οἷον ἂν τύχῃ ἐκ τῆς στοᾶς· ὡς
τῷ θνητῷ τὸ ἀθάνατον ἀντί
κειται· καὶ τῷ φθαρτῷ τὸ ἀ
φθαρτον· καὶ σώματί γε τὸ
ἀσώματον· οὕτως ὑπάρχοντι
τῷ λογικῷ χρῆναι τὸ ἄλογον
ἀντικεῖσθαι καὶ ἀνθυπάρχειν· καὶ
μὴ μόνην ἐν τοσαῖσδε συζυγίαις
ἀτελῆ τὴν δὲ λείπεσθαι καὶ πε
πηρῶσθαι· τίς οὖν ὦ φίλε σωκλα
ρε τοῦτο ἠξίωσεν· οὗτος ἐν τοῖς

πράγμασι τοῦ λογικοῦ μὲν εἶναι
τὸ ἄλογον· πολὺ γάρ ἐστι τὸ ἄφθον
ἐν πᾶσι τῆς ψυχῆς ἀμοιροῦσι·
καὶ οὐδὲν ἑτέρας δεόμεθα πρὸς
τὸ λογικὸν ἀντιθέσεως· ἀλλὰ πᾶν
αὖθις τὸ ἄψυχον ὡς ἄλογον καὶ
ἀνόητον ἀντικεῖσθαι τῷ μετὰ
ψυχῆς λόγον ἔχοντι καὶ διάνοι(αν)·
εἰ δέ τις ἀξιοῖ μὴ κολοβὸν εἶναι
τὴν φύσιν, ἀλλὰ τὴν ἔμψυχον
φύσιν ἔχειν· τὸ μὲν λογικὸν· τὸ
δὲ ἄλογον· ἕτερος ἀξιώσει τὴν
ἔμψυχον φύσιν ἔχειν· τὸ μὲν
φανταστικόν· τὸ δὲ ἀφαντασί
ωτον· καὶ τὸ μὲν, αἰσθητικὸν
τὸ δὲ ἀναίσθητον· ἵνα δὴ τὰς
ἀντιζύγους ταύτας καὶ ἀντιθέτους
ἕξεις καὶ στερήσεις περὶ ταὐτὸν
ἡ φύσις ἔχοι γένος· οἷον, ἰσορρο
πούσας· εἰ δὲ ἄτοπος ὁ ζητῶν τοῦ
ἐμψύχου, τὸ μὲν αἰσθητικόν·

τὸ δὲ ἀναίσθητον εἶναι· καὶ τὸ
μὲν φαντασιούμενον· τὸ δὲ
ἀφαντασίωτον· οὐ πᾶν τὸ ἔμ-
ψυχον αἰσθητικὸν ἀνάγκη εἶναι
καὶ φανταστικὸν πέφυκεν· οὐδ'
οὕτως αὐτὸ κέκτηται ἀπαιτητέον
τὸ μὲν λογικὸν εἶναι τοῦ ἐμ-
ψύχου· τὸ δὲ ἄλογον πρὸς ἄλλους
διαλεγόμενος· μηδὲ ἐννοοῦμεν αἰ-
σθήσεως μετέχειν· ὃ μὴ καὶ
συναισθήσεως· μηδὲ εἶναι ζῶον· ὡς
μὴ δόξαι τις καὶ λογισμὸς, ὥσπερ
αἴσθησις καὶ ὁρμὴ κατὰ φύσιν
παρεῖναι· ἡ γὰρ φύσις ἣν ἕνεκά του
καὶ πρός τι πάντα ποιοῦσιν, ὀρθῶς
λέγουσιν· οὐκ αὐτὸ ψιλῶς τῷ πάσ-
χοντι αἰσθάνεσθαι τὸ ζῶον αἰσθη-
τικὸν ἐποίησεν· ἀλλ' ὄντων μὲν
οἰκείων πρὸς αὐτὸ πολλῶν· ὄντων
δὲ ἀλλοτρίων· οὐδὲ ἄκαρπον ἦν πε-
εἰδέναι μὴ μαθοῦντι τὰ μὲν φύ-

λαττεσθαι· τοῖς δὲ συμφέρεσθαι·
τῶν μὲν οὖν γνῶσιν ἀμφοῖν
ὁμοίως ἡ αἴσθησις ἑκάστῳ πα-
ρέχει· τὰς δὲ ἑπομένας τῇ αἰ-
σθήσει, τῶν μὲν ὠφελίμων λή-
ψεις καὶ διώξεις· διακρούσεις δὲ
καὶ φυγὰς τῶν ὀλεθρίων καὶ
λυπηρῶν· οὐδεμία μηχανὴ
τοῖς μὴ λογίζεσθαί τι καὶ κρίνειν
καὶ μνημονεύειν καὶ προσέχειν πε-
φυκόσιν· ἀλλ' ἂν ἀφέλῃς παν-
τάπασι προσδοκίαν· μνήμην·
πρόθεσιν· παρασκευήν· τὸ
ἐλπίζειν· τὸ δεδοικέναι· τὸ
ἐπιθυμεῖν· τὸ ἀσχαλλεῖν· οὔτε
ὀμμάτων ὄφελος οὐδὲν αὐτοῖς
παρόντων· οὔτε ὤτων· αἰσθή-
σεώς τε πάσης καὶ φαντασίας
τὸ χρώμενον οὐκ ἐχούσης· ἀπηλ-
λάχθαι βέλτιον ἢ πονεῖν καὶ λυ-
πεῖσθαι καὶ ἀλγεῖν· ᾧ διακρούσηται

ταῦτα μὴ παρόντος· καίτοι γε πρω-
τος ὅ γε τοῦ φυσικοῦ λόγος ἐστὶν
ἀποδεικνύων· ὡς οὐδ' αἰσθάνεσ-
θαι τὸ σῶμα πάντως ἄνευ τοῦ νο-
ῦ ὑπάρχει· καὶ γὰρ γράμματα
πολλάκις ἐπιπορευομένοις
τῇ ὄψει καὶ λόγοι προσπίπτο-
ντες τῇ ἀκοῇ διαλανθάνουσι
ἡμᾶς καὶ διαφεύγουσι, πρὸς ἑτέρ-
τὸν νοῦν ἔχοντας· εἶτα αὖθις
ἐπανῆλθε καὶ μεταθεῖ καὶ διώκει
τῶν προειρημένων ἕκαστον ἀναλε-
γόμενος· ᾗ καὶ λέλεκται· νοῦς
ὁρῇ καὶ νοῦς ἀκούει· τὰ δ' ἄλλα
κωφὰ καὶ τυφλά, ὡς τοῦ περὶ
τὰ ὄμματα καὶ ὦτα πάθους
ἂν μὴ παρῇ τὸ φρονοῦν αἴσθησ-
ιν οὐ ποιοῦντος· διὸ καὶ Κλεομένης
ὁ βασιλεὺς παρὰ πότον εὐδο-
κιμοῦντος ἀκροάματος ἐρω-
τηθεὶς· εἰ μὴ φαίνεται σπουδαῖον

ἐκλιάσειν ἑκάστοις ὅλως· αὐτ
τὰ ἐν τῷ λόγῳ συμμνήσεως τοῦ νοῦ
ἔχειν· ὅθεν ἀνάγκη πᾶσιν οἷς τὸ
αἰσθάνεσθαι, καὶ τὸ νοεῖν ὑπάρχ
ειν, εἰ τῷ νοεῖν αἰσθάνεσθαι πεφύκαμεν·
ἔστω δὲ μὴ δεῖσθαι τοῦ νοῦ τὴν αἴ
σθησιν πρὸς τὸ αὐτῆς ἔργον· ἀλλ'
ὅταν γε τῷ ζῴῳ πρὸς τὸ οἰκεῖον
καὶ τὸ ἀλλότριον ἡ αἴσθησις ἐνεργα-
σαμένη διαφορὰν ἀπέλθῃ, τί
τὸ μνημονεῦον ἐστὶν ἤδη· καὶ δεδι-
ὸς τὰ λυποῦντα, καὶ ποθοῦν τὰ
ὠφέλιμα· καὶ μὴ παρόντων,
ὅπως παρέσται μηχανώμενον
ἐν αὐτοῖς· καὶ παρασκευαζόμεν
ὁρμητήρια καὶ καταφυγάς· καὶ
θηρατέα πάλιν αὖ τοῖς ἁλω-
σομένοις· καὶ ἀποδράσεις τῶν
ἐπιτιθεμένων· καίτοι γε
κἀκεῖνοι λέγοντες ἀποκναίουσιν
ἐν ταῖς εἰσαγωγαῖς ἑκάστοτε· τῇ

πρόθεσιν ὁρίζομεν· σημείωσιν ἐπι-
τελειώσεως· τὴν δὲ ἐπιβολὴν, ὁρ-
μὴν πρὸ ὁρμῆς· παρασκευὴν
δὲ πρᾶξιν πρὸ πράξεως· μνή-
μην δὲ κατάληψιν ἀξιώματος
παρεληλυθότος· οὗ τὸ παρὸν
δὲ ἐξ αἰσθήσεως κατελήφθησαν·
τούτων γὰρ οὐδὲν ὅτι μὴ λογι-
κόν ἐστι καὶ πάντα τοῖς ζώοις ὑπάρ-
χει πᾶσιν· ὥσπερ ἀμέλει καὶ τὰ
περὶ τὰς νοήσεις· ἃς ἐναποκει-
μένας μὲν ἐννοίας καλοῦσι·
κινουμένας δὲ διανοήσεις· τὰ
δὲ πάθη σύμπαντα κοινῶς
κρίσεις φαύλας καὶ δόξας ὁμο-
λογοῦντες εἶναι, θαυμαστὸν ὅτι
δὴ παρορῶσιν ἐν τοῖς θηρίοις
ἔργα καὶ κινήματα· πολλὰ μὲν
θυμῶν· πολλὰ δὲ φόβων· καὶ
ναὶ μὰ Δία φθόνων καὶ ζηλοτυ-
πιῶν· αὐτοὶ δὲ καὶ κύνας ἁμαρ-

ταράττουσι καὶ ἵππους κηλάζουσιν,
οὐ διὰ κενῆς· ἀλλ᾽ ἐπεὶ συμφωνίαις καὶ
λυπῶν δι᾽ ἀλγηδόνος ἐμποιοῦντ
αὐλοῖς, ἣν κατ᾽ ἀμουσίαν ὀνομάζομεν
ἡδομένης· τὸ μὲν διὰ ὤτων ὄνομα
κήλησίς ἐστι· τὸ δὲ διὰ ὀμμάτων
γοητεία. χρῶνται δὲ ἑκατέροις
περὶ τὰ θηρία. κηλοῦνται μὲν
ἔλαφοι καὶ ἵπποι σύριγξι καὶ αὐλοῖς
καὶ τοὺς παγούρους ἐκ τῶν χηρα-
μῶν ἀνακαλοῦνται βιαζόμενοι
ταῖς φώτιγξι· καὶ τὴν θρίσσαν
ᾀδόντων καὶ κροτούντων ἀνα-
δύεσθαι καὶ προϊέναι λέγουσιν.
ὁ δὲ ὦτος αὖ πάλιν ἁλίσκεται
γοητευόμενος, ὀρχουμένων ἐν ὄψει
μεθ᾽ ἡδονῆς ἅμα ῥυθμῷ συνελιχόμενος
τοῖς ὤμοις ἅμα διαφόρην. οἱ δὲ
περὶ τούτων ἀβελτέρως λέγοντες,
μήτε ἥδεσθαι, μήτε θυμοῦσθαι
μήτε φοβεῖσθαι· μήτε παρασκευά-

ζεσθαι τὴν ἡδονήν· μήτε μὴν
μονάζειν τὴν μέλιτταν· καὶ ὥσπερ
θυμοῦσθαι τὸν λέοντα· καὶ ὥσπερ
βλέπειν αὐτά· καὶ ὥσπερ ἀκούειν
μηδὲ φωνήν· ἀλλ' ὥσπερ φωνεῖν·
μηδὲ ὅλως ζῆν· ἀλλ' ὥσπερ ζῆν.
ταῦτα γὰρ οὐ μᾶλλον ἐστὶν ἐκείνων
λεγόμενα παρὰ τὴν ἐνάργειαν·
ὡς ἐγὼ πείθομαι· κἀμὲ τοίνυν
ὡς αὐτὸ βούλει· ταῦτα τίθει συμπει-
θόμενον· τὸ δὲ τοῖς ἀνθρωπίνοις ἤθεσι
καὶ βίοις καὶ πράξεσι καὶ διαίταις
τὰ τῶν ζώων παρατίθεσθαι ἀλλ'
τε πολλὴν ἐν ὅλῳ φλαυρότη-
τα καὶ τῆς ἀρετῆς, πρὸς ἣν ὁμολογουμένως
γεγόναμεν· μηδὲν ἐμφαίνειν στοχασμὸν
αὐτῶν μηδὲ προκοπήν· μηδ'
ὄρεξιν, ἀπορῶ πῶς ἡ φύσις ἔδω-
κε τὴν ἀρχὴν αὐτοῖς, ἐπὶ τὸ τέλος
ἐξικέσθαι μὴ δυναμένοις· ἀλ-
λὰ τοῦτο μὲν οὐδ' αὐτοῖς ἐκείνοις

ὧ σκληρὰ τοῖς ἀνδράσιν ἄτοπ-
εἶναι δοκεῖ. τινὲς γοῦν προέστα-
ἐκτομὰ φιλοργίαν· ἀρχὴν μὲν
ἥκειν κοινωνίας ἐς δικαιοσύνην
τιθέμενοι· πολλὴν ἐν τοῖς ζώοις ἐς
ἰσχὺν ὁρμητικὴν παρέχουσαν, οὐ φα-
ῦλοις οὐδὲ ἀξιοῦσι μὲν εἶναι δι-
καιοσύνης· ἡμιόνοις δὲ τῶν γεν-
νητικῶν μελῶν, οὐδὲν ἐνδεῖ.
καὶ γὰρ αἰδοίοις μεμήρας. καὶ
τὸ χρῆσθαι μεθ' ἡδονῆς τούτοις
ἔχουσαι, πρὸς τὸ τέλος οὐκ ἐξ-
ικνοῦνται τῆς γενέσεως. σκῶπτ-
ε δὲ ἄλλως, μὴ καταγελασομένῃ
τοῖς σωκράτης· καὶ τοὺς πλά-
τωνας, οὐδὲν ἐλαφρότερα κακί-
ζοντας τοῦ τυχόντος, ἀνδραπόδου σῶν
εἶναι φάσκοντας, ἀλλ' ὁμοίως
ἀφόνας εἶναι ἐς ἀκολάστους καὶ
ἀδίκους. εἶτα τῶν θηλειῶν αἰ-
τιᾶσθαι τὸ μὲν καθαρ, μὲν δὲ ἀτη-

κρίνωμεν πρὸς ἀρετήν· ὥσπερ
οὐχὶ φαυλότητα λόγου καὶ ἀλη-
θείαν· καὶ ταύτην κακίαν ὁμο-
λογοῦντας εἶναι λογικήν· ἧς πᾶν
θηρίον ἀναπέπλησται· καὶ γὰρ
δειλίαν πολλοῖς καὶ ἀκολασίαν·
ἀδικίαν τε καὶ κακοήθειαν· ὁρῶμεν
ὑπάρχουσαν· ὁ δὲ ἀξιῶν τὸ μὲν πε-
φυκὸς ὀρθότητα λόγου δέχεσθαι
προφέρειν μέν, οὐδὲν διαφορᾷ
τοῦ μὲν τεθνηκὸς αἴσχους φύσει
μετέχειν· μὲν τε χελώνην βρα-
δυτῆτος ἀξιοῦντος, ὅτι μὲν
κάλλους ἀνεπιδεκτικὰ, μὲν δὲ
τάχους ἐστίν· ταύτην τὴν δια-
φορὰν ἐμποδὼν οὖσαν, οὐ συν-
ορᾷ· λόγος γὰρ ἐγγίνεται φύσει·
σπουδαῖος δὲ λόγος καὶ τέλειος ἐξ
ἐπιμελείας καὶ διδασκαλίας· διὰ
τοῦ λογικοῦ, πᾶσι τοῖς ἐμψύχοις
μετέχειν· ἣν δὲ ζητοῦσιν ὀρθότητα

καὶ σοφίαν· οὐχ ἅπαντες τὴν αὐτὴν κεκτη-
μένοι ἔχουσιν· ὥσπερ ὄψεως ἐστὶ
πρὸς ὄψιν διαφορὰ καὶ ἀκοῆς
πρὸς ἀκοήν· οὐ γὰρ ὁμοίως
ἱέρακι βλέπουσι καὶ τέττιγες·
οὐδ' ἀετοὶ πελειάνταις καὶ πέρδικες·
οὕτως οὐδὲ παντὶ λογικῷ μέτεστιν
ὡσαύτως τῆς ἀρομένης τὸ ἄκρον
ἀγχιφίας καὶ ὀξύτητος· ἐπεὶ
δείγματά γε πολλὰ καὶ μνήμης
καὶ ἀνδρείας· καὶ τοῦ πανούργου
ποδεῖ τοῖς πορισμοῖς καὶ τὰς
οἰκονομίας· ὥσπερ αὖ καὶ
τῶν ἐναντίων, ἀδικίας· δειλί-
ας, ἀβελτηρίας ἔνεστιν αὐτοῖς· καὶ
μαρτυρεῖ τὸ νυνὶ πεποιηκὸς
ἐν τοῖς νεανίσκοις τὴν ἅμιλλαν·
ὡς γὰρ οὔσης τινὸς διαφορᾶς·
οἱ μέν, τὰ χερσαῖα φασίν· οἱ
δέ, τὰ θαλάσσια μᾶλλον προ-
ῆχθαι φύσει πρὸς ἀρετήν· ὁ

ὃ δὲ καὶ δηλοῦσι παραβαλόμενοι
πελαργοῖς ἵππων ποταμίων·
οἱ μὲν γὰρ τρέφουσι τοὺς πα-
τέρας· οἱ δ' ἀποκτιννύουσιν·
ἵνα τὰς μητέρας ὀχεύωσιν·
καὶ περιστεραῖς περδίκων·
οἱ μὲν γὰρ ἀφανίζουσι τὰ
ᾠὰ καὶ διαφθείρουσι τὰς θη-
λείας ὅταν ἐπῳάζωσιν οὐ
προσδεχομένας τὴν ὀχείαν·
οἱ δὲ καὶ διαδέχονται τὴν ἐπι-
μέλειαν ἐν μέρει θάλποντες
τὰ ᾠὰ· καὶ ψωμίζουσι πρό-
τεροι τὰ νεόττια καὶ τὴν θή-
λειαν, ἐὰν πλείονα χρόνον
ἀποπλανηθῇ· κόπτων ὁ ἄρ-
ρην εἰσελαύνει πρὸς τὰ ᾠὰ
καὶ τοὺς νεοττούς· ὄνοις δὲ καὶ
προβάτοις, Ἀντίπατρος
ἐγκαλῶν ὀλιγωρίαν καθα-
ριότητος, οὐκ οἶδα πῶς πα-

ρῆλθε τὰς λύπας καὶ τὰς χελιδό-
νων αἷμα, ἐκτοπίζουσι πάντα
πᾶσι κρύπτουσαι καὶ ἀφανίζουσαι
τὸ λυπούμενον· αἱ δὲ χελιδόνες
ἔξω στρεφόμεναι διδάσκουσι
τοὺς νεοττοὺς ἀφιέναι τὸ περίτ-
τωμα· καίτοι διατί δένδρον
δένδρου οὐ λέγομεν ἀμαθέστερον
ὡς κυνὸς πρόβατον· οὐδὲ λα-
χάνου λάχανον ἀνανδρότερον
ὡς ἔλαφον λέοντος· ἢ καθάπερ
ἐν τοῖς ἀκινήτοις ἕτερον ἑτέρου
βραδύτερον οὐκ ἔστιν· οὐδὲ μι-
κροφωνότερον ἐν τοῖς ἀναύδοις·
οὕτως οὐδὲ δειλότερον οὐδὲ νω-
θρότερον· οὐδ' ἀκρατέστερον· οἷς
μὴ φύσει πᾶσιν ἡ τοῦ φρονεῖν
δύναμις· ἄλλοις δὲ ἄλλως κατὰ
τὸ μᾶλλον καὶ ἧττον παροῦσα
τὰς ὁρωμένας διαφορὰς πε-
ποίηκεν· ἀλλὰ θαυμαστὸν

ὅσον ἀγνοεῖς αἰσθητὰ ἐς ἀρχήμοια
ἐς τοῖς ποσὶ διὰ καλλισσεύειν ἐς
κοινωνίαν διαφορᾶς τῶν ζώων·
καὶ γὰρ ἐκείνων ὧν ἐπαίρεται πολ-
λὰ τοῖς μὲν μεγέθεσι καὶ ποδω-
κείᾳ· τοῖς δ' ὄψεως ῥώμῃ καὶ
ἀκοῆς ἀκριβείᾳ, παρενίζας ἄνους
ἀπολελοίπαμεν· ἀλλ' οὐ διὰ τοῦτο
τυφλός· οὐδ' ἀδύνατος· οὐδὲ
ἄνοπλος ὁ ἄνθρωπός ἐστιν· ἀλλὰ καὶ
χειρῶν καὶ ὀμμάτων ἰσχύος
τε καὶ μεγέθους, ἡ φύσις ἡμᾶς
οὐκ ἀπεστέρησε· καίτοι τὸ
μηδὲν ἐν τούτοις πρὸς ἐλέφαν-
τα καὶ κάμηλον ὀνίζας, οὐκ ὤν
ὁμοίως μηδὲ τὰ θηρία λέγομεν.
ἀνωφελέστερον φρονεῖν καὶ κάκιον
διανοεῖσθαι, μὴ διανοεῖσθαι·
μηδὲ φρονεῖν ὅλως· μηδὲ κε-
κτῆσθαι λόγον· ἀτελῆ δὲ καὶ
θολερὸν κεκτῆσθαι· ὥσπερ

ὀφθαλμὲ ἀμβλυώττοντα καὶ
τεταραγμένον· τὰ δὲ μὲν πολλὰ
τοῖς νεανίσκοις αὐτίκα δὴ
μάλα προσεδόκων τὸ μὲν
ἐκ γῆς· τὸ δὲ ἐκ θαλάττης ἐν-
ταῦθα συνερανίζειν φιλολό-
γοις καὶ φιλογραμμάτοις ὄντ
οὐκ ἂν ἀποσχοίμην σου· μνεῖα
μὲν ἀμαθίας· μνεῖα δὲ σο-
φίας παραδείγματα θη-
ρίων διηγούμενος· ὧν ἁμάξαις καὶ
σκάφαις ἡμῖν ἐκ τῶν βασι-
λικῶν ἀρύσασθαι θεάτρων
ἡ καλὴ ῥώμη παρέσχηκε· ταῦ-
τα μὲν οὖν ἐκείνοις νεαρὰ καὶ
ἄθικτα πρὸς τ λόγον ἐγκαλ-
λωπίσασθαι καταλείπωμεν·
βούλομαι δὲ μικρόν τι μετὰ
σοῦ σκέψασθαι καθ᾽ ἡσυχίαν
οἶμαι γὰρ ἰδίαν τινὰ μέτροις
ἑκάστου καὶ δυνάμεως φαν-

λότητα καὶ πήρωσιν εἶναι
καὶ νόσον, ὥσπερ ὀφθαλμοῦ
τυφλότητα καὶ σκέλους χω-
λότητα καὶ ψελλότητα γλώσσης·
ἄλλου δὲ μηδενός· οὐ γάρ ἐστι
τυφλότης μὴ πεφυκότος ὁ-
ρᾶν· οὐδὲ χωλότης μὴ πεφυ-
κότος βαδίζειν· ψελλόν τε τῶν
ἀγλώσσων, ἢ τῶν ἀναύδων φύ-
σει τραυλὸν ὕδρυ ἂν προσείποις·
οὐκοῦν οὐδὲ παραπαῖον· ἢ πα-
ραφρονοῦν ἢ μαινόμενον, ᾧ μὴ
τὸ φρονεῖν, ἢ τὸ λογίζεσθαι καὶ
διανοεῖσθαι κατὰ φύσιν ὑπῆρχ(εν)·
οὐ γάρ ἐστιν ἐν πάθει γενέσθαι,
μὴ κεκτημένον δύναμιν, ἧς
τὸ πάθος ἢ στέρησις, ἢ πήρωσις,
ἢ τις ἄλλη κάκωσίς ἐστιν· ἀλλὰ
μὴν ἐντετύχηκάς γε λυττώσαις
κυσίν· ἐγὼ δὲ καὶ ἵπποις· ἔνιοι
δέ φασι καὶ βοῦς μαίνεσθαι καὶ

λύττα τῶν κυνῶν.

ἀλώπεκας· ἀρκεῖ δὲ τὸ τῶν
κυνῶν, ὃ ἀναμφισβήτητον ἤδη
ὡς μαρτύριον λόγον ἔχειν καὶ
διάγνωσιν, οὐ φαῦλον τὸ ζῶον·
τῆς παρατιθεμένης ὡς συγχεο-
μένης, ἡ λεγομένη λύττα ὡς μα-
νία, πάθος ἐστίν· οὔτε γὰρ
ὄψιν ἀλλοιουμένων αὐτῶν, οὔτε
ἀκοὴν ὁρῶμεν· ἀλλὰ ὥσπερ
ἀνθρώπου μελαγχολῶντος ἢ πα-
ρακόπτοντος, ὁ μὴ λέγων
δέχεσθαι ὡς διαφθορὰν εἶναι τὸ
φρονοῦν· ὡς ληρίζομενον ὡς
μνημονεῦον ἄτοπος ἐστί· καὶ
γὰρ ἡ σιωπὴ τῶν ταῦτ' ἔλεγε, κα-
τηγορεῖ τῶν παραφρονούντων
μὴ εἶναι παρ' αὐτοῖς· ἀλλ' ἐκ
πεπτωκέναι τῶν λογισμῶν·
οὕτως ὁ τοὺς λυττῶντας κύ-
νας, ἄλλο τι πεπονθέναι
νομίζων· ἀλλ' οὐχὶ τῷ φρον

πέφυκέ τι καὶ λογίζεσθαι καὶ
μνημονεύειν ἅμα πεπληκότι
ταραχῆς καὶ παραπεπαικότ(α)
ἀγνοεῖν τὰ φίλτατα πρόσωπα
καὶ φάσκειν τὰς συμφορὰς δι' αὐ-
τάς· ἢ παρορᾶν τὸ φαινόμενον,
ἔοικε μὲν συνορῶν τὸ γινόμε-
νον αὐτοῦ, φιλονεικεῖν πρὸς τὴν
ἀλήθειαν, ὀρθῶς μοι δοκεῖς ὑπο-
νοεῖν· οἱ γὰρ ἀπὸ τῆς στοᾶς καὶ
τοῦ περιπάτου, μάλιστα πρὸς
τοὐναντίον ἐντείνουσι τῷ
λόγῳ τῆς δικαιοσύνης ὑπερ-
γένεσιν οὐκ ἐχούσης· ἀλλὰ πα-
ντάπασιν ἀσύστατον καὶ ἀνύπαρ-
κτον γενόμενον· ἥ φασι τοῖς ἐπι-
ζῶσι τοῖς λόγου μετέχειν· γίνεσθαι
γὰρ ἢ τὸ ἀδικεῖν ἀναγκαῖον·
ἢ μεῖν ἀφθονεῖν αὐτῶν· ἢ μὴ
χρωμένων αὐτοῖς, τὸ ζῆν ἀδύ-
νατον καὶ ἄπορον· καὶ πρὸ

τινὰ θηρίων βίον βιωσόμεθα
τὰς ἀπὸ τῶν θηρίων προέμενοι
χρείας· ἀφίημι γὰρ νομάδων
καὶ τρωγλοδυτῶν ἀνεξαρίθμους
ἀριθμῷ μυριάδας· οἷς τροφὴν
σάρκας ἄλλο δὲ οὐδὲν ἴσασιν
ἀλλὰ ἡμῖν τοῖς ἡμέρως καὶ
φιλανθρώπως ζῆν δοκοῦσιν,
ποῖον ἔργον ἀπολείπεται γῆς
ποῖον ἐν θαλάσσῃ· τίς ἐν ὄρεσι
τέχνη· τίς κόσμος διαίτης·
ἂν ὡς προσήκει λογικοῖς καὶ
ὁμοφύλοις πᾶσι τοῖς ζώοις
οὖσιν· ἀβλαβῶς καὶ μετ' εὐ-
λαβείας προσφέρεσθαι μά-
θωμεν, ἔργον ἐστὶν εἰπεῖν· οὐδ'
οὖν φάρμακον οὐδ' ἴαμα
τῆς ἢ τὸν βίον ἀναιρούσης ἢ
τὴν δικαιοσύνην ἀπορίας
οὐδενὸς δὲ ἧττον ἀξιοθαύμα-
στον ἐφαίνετο· ἥ τε συμμετρία
τό τε σχῆμα τῆς τοῦ ἄντρου
κοιλότητος· ὥσπερ ποιητέον γὰρ
αὐτὴν ἐκ γ' μηνίσκων μηνίσκων ἐν δύο
μηνίσκων διέχεσθαι· τοῖς δ' ἄλλοις
τυφλὸν εἶναι παντελῆ καὶ κρυφίαν·
ὥστε περὶ εἶναι μηδὲν ἔσω μηδὲ
τῆς θαλάσσης· οἶμαι μὲν οὖν
μηδὲ εἶναι καὶ μέσον ἀθέατον εἶναι
τῆς μεσημβρίας· ἐμοὶ δὲ πολλάκις
ἰδόντι καὶ θιγόντι παρίσταται
λέγειν ἐν ἀρχῇ· δῆλον δήποτε
τοῖον Ἀπόλλωνος παρὰ ναῷ
τὸν καὶ ὁ κερατῖνον βωμὸν εἶδον· ἐν
τοῖς ἑπτὰ καλουμένοις θεά-
μασιν ὑμνούμενον· ὅτι μήτε
κόλλης δεόμενος· μήτε τινὸς ἄλλου
δεσμοῦ διὰ μόνων τῶν δεξιῶν

οὐ μὴ περιεπόνησε καὶ σπουδῇ ἠρμόσθαι
κέρδει. ἵλεως δὲ ὁ θεὸς εἴη καὶ
παρέστι μουσικῶν ὁμιλία καὶ μὴ οἱ
ὥστε τὴν ἐμὴν τῆς πελαγίου
σφρῆμος, ἀμενῶς καὶ κατα
γελᾶν τῶν ἐρωτημάτων
ἐμμανῶν ὡς σκοποῦντα ἐρω-
τῶσιν οὗτοι διὰ τί ἀπόλλων
σοῦθο οὐδὲ βιβλοβόλη γινώσκειν
τὰ ἀφροδίτην ὅμοιον κατὰ
θάλατταν ποιουμένην. αὐτῆς
ἱερὰ καὶ ἀδελφὰ καὶ μηδὲν ὁμο-
μένω χαίρουσαν. ἐν δὲ λέγεται
τοῖς ἱερεῦσι τοῦ ποσειδῶνος. οὐ-
δὲν ἔναλον τὸ παράπαν ἐσθί-
οντας. τεθνᾶναι δὲ τοῖς ἐν ἐλευ-
σῖνι μύσταις σεβομένοις ἱερ.
καὶ τῆς ἥρας ἐν ἄργει τῶν ἱερέ-
ων ἀπεχομένων ἐσθίειν τιμῇ τοῦ
ζώου. τὸν γὰρ θαλάττιον λα-
γωὸν ὅς ἐστιν ἀνθρώπῳ θανάσιμος,

κτείνουσιν· αἱ δ' ἄλλαι μάλιστα καὶ μεταγιγνώσκουσι· διὰ ταῦτα ὡς φιλάνθρωπα καὶ σωτήρια ζῷα τὴν ἄδειαν ἔχουσιν. Καὶ μὴν Ἀρτέμιδός γε Δικτύννης, Δελφινίου τε Ἀπόλλωνος ἱερὰ καὶ βωμοὶ παρὰ πολλοῖς Ἑλλήνων εἰσίν· ὃν δ' αὐτὸς ἑαυτῷ τόπον ἐξαίρετον ὁ θεὸς πεποίηται, Κρητῶν ἀποίκους οἰκιστὰς ἡγεμόνι δελφῖνι χρησαμένους. οὐ γὰρ θεὸς προενήχετο τοῦ στόλου μεταβαλὼν εἶδος, ὡς οἱ μυθογράφοι λέγουσιν, ἀλλὰ δελφῖνα πέμψας τοῖς ἀνδράσιν ἰθύνοντα τὸν πλοῦν, κατήγαγεν εἰς Κίρραν. ἱστοροῦσι δὲ καὶ τοὺς πεμφθέντας εἰς Σινώπην ὑπὸ Πτολεμαίου τοῦ σωτῆρος ἐπὶ τὴν Σαράπιδος κομιδήν· καὶ

Διονύσιον ἀποσταθέντα ἀνάγκῃ
βιαίῳ κομίζεσθαι παρὰ γνώ-
μην ἔξω Μαλέας ἐν δεξιᾷ
Πελοπόννησον ἔχοντας· εἶτα
ῥεμβομένοις καὶ δυσθυμοῦσιν
αὐτοῖς, προφανέντα δελφῖνα
πρὸ πρῴρας ὥσπερ ἐκκαλεῖσθαι
καθηγούμενον εἰς τὰ ναύλοχα
καὶ ὅρμους μαλακοὺς ἔχοντα
τῆς χώρας εἶναι ἀσφαλεῖς ἄ-
χρις οὗ τοῦτον τὸν τρόπον
ἄγων καὶ προπέμπων τὸ
πλοῖον εἰς Κίρραν κατήγαγεν·
ὅθεν ἀναβατήριον θύσαντες
ἔγνωσαν ὅτι δεῖ δυοῖν ἀγαλ-
μάτων· τὸ μὲν τοῦ Πλούτωνος
ἀνελέσθαι καὶ κομίζειν· τὸ δὲ
τῆς Κόρης ἀπομάξασθαι
καὶ καταλιπεῖν· εἰκὸς μὲν οὖν
ἦν καὶ τὸ φιλόμουσον ἀγαπᾶν
τοῦ θηρίου τὸν θεόν· ὡς καὶ πο-

δαρος ἀπήγξατο ἑαυτὸν ἐρεθί-
ζεσθαι φησὶν, οὐ δελφῖνος ἀ-
πόκρισιν· τὸν μὲν, ἀκίνη-
μος ἐκ πόντου τοῦ πελάγους αὐλ-
ἐκίνησεν ὁ ἐραστοῦ μέλος· ἀλλὰ
μᾶλλον ἔοικε τὸ φιλάνθρωπον
αὐτῶν θεοφιλὲς εἶναι· μόνος
γὰρ ἄνθρωπον ἀσπάζεται, καθὸ ἄν-
θρωπός ἐστι· τῶν δὲ χερσαί-
ων τὰ μὲν, οὐδένα· τὰ δὲ ἡμερώ-
τατα, μόνους προσδιέπει τοὺς
τρέφοντας ἀπὸ χρείας· καὶ
τοὺς συνήθεις· ὁ κύων· ὁ ἵππος·
ὁ ἐλέφας· αἱ δὲ χελιδόνες ὅσον
μὲν δέονται, τυγχάνουσιν εἰσοι-
κισάμεναι σκιᾶς καὶ ἀναγκαίας
ἀσφαλείας· φεύγουσι δὲ καὶ
φοβοῦνται τὸν ἄνθρωπον, ὥσπερ
θηρίον· τῷ δὲ δελφῖνι παρὰ
πάντα καὶ μόνῳ τὸ ζητούμενον
ὑπὸ τῶν ἀρίστων φιλοσόφων

ἐκδυσωποῦ τὸ φίλ᾽ ἄνθρωπε χρείας.
φίλον πρὸς ἀνθρώποις ὑπάρχει·
μὴν δ᾽ ἔμος γὰρ φιλανθρωπευ ἀνθρώπου
δεόμενος, πᾶσιν ἀμείνης
ἐστὶ φίλος ὡς βεβοήθηκε πολλ-
οῦντα μὲν ἀρίστωνος οὐδὲ
ἄγνοεῖ· προσβοῶντα γὰρ Ἀρίων·
Ἡσίοδον δὲ καὶ μετὰ καιρὸν αὐτὸς
ἡμέρας ὦ φίλε ἀνεμνήσασθε·
ἀτὰρ οὐ τέλος ἷκε ὁ μῦθων·
Ἔδει δὲ τὸν κύνα αἰτήσασθαι
μὴ παραλιπεῖν τοῖς δελφῖσιν.
Τυφλὸν γὰρ ἦν τὸ μήνυμα
τοῦ κυνὸς, ὑλακτοῦντος μόνον καὶ
μετὰ βοῆς ἐπιφερομένου
τοῖς φονεῦσι· παρῆν τὸ νεκρὸν
θαλάσσῃ διαφθαρθὲν ἀράμενοι
δελφῖνες, ἄνθρωποι παρ᾽ αὐτὸ
ἐκδεχόμενοι προθύμως ἐς τὸ
ῥίον ἐκθέντες. ἔδειξαν ἐσφα-
γμένον. ἤλεγχον δὲ τ᾽ ἀπολέσαντα

μύρτιλος ὁ λέσβιος ἱστορεῖται
φιλογέως ἐρῶν τῆς θυγατρὸς
ῥιφείσης κατὰ χρησμὸν τῆς
ἀμφιτρίτης, ὑπὸ τῶν πεν-
θιδῶν ἐξ αὐτοῦ ἐκβαλλόμενον
εἰς τὴν θάλασσαν, ὑπὸ δελ-
φῖνος σῶον ἐξενεχθῆναι πρὸς
τὴν λέσβον. ἢ ὁ περὶ τὸν ἰασέ
παῖδα τοῦ δελφῖνος ἄνοια
καὶ φιλία δι' ὑπερβολὴν ἔρως
ἔδοξε. συνέπαιζε γὰρ αὐτῷ
καὶ συνενήχετο καθημέραν·
παρεῖχεν ἐν χρῷ ψαυόμενος,
ἐῶντα ἐπιβαίνοντας, οὐκ ἔ-
φευγεν· ἀλλ' ἔφερε χαίρων,
πρὸς ὃ ἑκάστοτε κλίνων·
ὁμοῦ πάντων ἰασέων ἑκά-
στοτε συντρεχόντων ἐπὶ τὴν
θάλατταν· ὄμβρου δὲ πολλοῦ
ποτε μετὰ χαλάζης ἐμπε-
σόντος, ὁ μὲν παῖς, ἀπορρυεὶς

ἐξέπνευσεν. ὁ δὲ δελφὶν ὑπο-
λαβὼν ἅμα τῷ νεκρῷ συν-
εξέωσεν αὐτὸς ἑαυτὸν ἐπὶ
τὴν γῆν. καὶ οὐκ ἀπέστη
τοῦ σώματος, ἕως ἀπέθα-
νε, δικαιώσας μετασχεῖν, ἧς
ὡς συναίτιος ἔδοξε γεγονέναι
τελευτῆς. καὶ τοῦ πάθους
ἐπίσημον Ἰασεῦσι τὸ χά-
ραγμα τοῦ νομίσματός ἐστιν,
παῖς ὑπὲρ δελφῖνος ὀχούμενος.
ἐκ δὲ τούτου καὶ τὰ περὶ Κοι-
ράνου ὄντα μυθώδη, πίστιν
ἔχει. Πάριος γὰρ ὢν τὸ γέ-
νος ἐν Βυζαντίῳ δελφίνων
βόλῳ ἐνσχεθέντων σαγήνῃ καὶ
κινδυνευόντων κατακοπῆναι,
πριάμενος μεθῆκε πάντας.
ὀλίγῳ δὲ ὕστερον, ἔπλει πεντη-
κόντορον ἔχων ὥς φασι
λῃστῶν ἄνδρας ἄγουσαν. ἐν

δὲ τῷ μετὰ Ξουμάχου στόλου
πορθμέως τῆς νεὼς ἀναρπασθείσης
καὶ τῶν ἄλλων διαφθαρέντων
ἐκεῖνον λέγουσιν δελφῖνος ὑπο
δραμόντος αὐτῷ καὶ ἀνακου-
φίζοντος ἐξενεχθῆναι τῆς Σι-
κίνθου κατὰ σπήλαιον· ὃ δεί
κνυται μέχρι νῦν· καὶ καλεῖται
Κοιράνειον· ἐπὶ τούτῳ δὲ λέ
γεται ποιῆσαι τὸν Ἀρχίλοχον·
πεντήκοντ' ἀνδρῶν λίπε Κοι-
ρανον ἤπιος Ποσειδῶν· ἐπεὶ
δὲ ὕστερον ἀποθανόντος
αὐτοῦ τὸ σῶμα πλησίον τῆς
θαλάττης οἱ προσήκοντες ἔκαιον·
ἐπεφαίνοντο πολλοὶ δελφῖνες
παρὰ τὸν αἰγιαλόν· ὥσπερ
ἐπιδεικνύντες ἑαυτοὺς ἥκον-
τας ἐπὶ τὰς ταφάς· καὶ
παραμείναντες ἄχρις οὗ
συνετελέσθησαν· ἡ δ' ὁδὸς ἐστε

ἀσπὶς, ὅτι μὲ ἐπίσημον ὁ
χεῖ δελφῖνα, ὥς φησι Στησίχορος
ἱστορηκώς. ἐξ ἧς δὲ αἰτίας, Ζα
κύνθιοι διαμνημονεύουσιν,
ὡς Κριθεὺς μαρτυρεῖ. μικρὸς
γὰρ ὢν ὁ Τηλέμαχος ὥς φασιν,
ἐς ἀγχιβαθῆ τῆς θαλάττης
ὀλισθὼν ἐσώθη δελφίνων ὑπο
λαβόντων καὶ ἀνανηξάντων.
ὅθεν ἐποιήσατο γλυφεῖν τε
σφραγῖδι καὶ τῆς ἀσπίδος κόσμον
ὁ πατὴρ, ἀμειβόμενος τὸ ζῷον.
ἀλλ' ἐπεὶ προειπὼν ὡς οὐ
μῦθον ἐμὸν ἐρῶ, καὶ αὐτὸς
οὐκ οἶδα ὅπως πρὸς τοῖς
δελφῖσιν ἔλαθον πορρωτέρω
τοῦ πιθανοῦ συνεξοκείλας.
ἐς τὸν Ὀδυσσέα καὶ Κοίρανον,
ἐπιτίθημι δίκην ἐμαυτῷ.
παύομαι γὰρ ἤδη λέγων.
ἐξαίρειν οὖν ὑμῖν ὦ ἄνδρες

ὁ ἱκανώτατα τὴν ψῆφον φέρ(ει)
ἀλλὰ πολλήν γε, παλαιά τε τοῦ
Σοφοκλέους δεδομένον ἐστίν.
ἃ γὰρ ὁ διχοστατῶν λόγος
συγκολλᾶται μέσον ἀμφοῖν
τεκταίνεται. ταύτῃ γὰρ
γὰρ ἃ πρὸς ἀλλήλους ἁρη-
κομμένα συντεθέντα ἐς ταὐτ(ὸ)
ἀμφότεροι καλῶς ἀγωνί-
ζονται. πρὸς τοῖς τάξεως
λόγου καὶ συνθέσεως ἀποστε-
ροῦνται.

Πλουτάρχου περὶ τοῦ τὰ ἄλογα λόγῳ χρῆσθαι

Ταῦτα μὲν ὦ Κίρκη
μεμαθηκέναι δοκῶ
καὶ διαμνημονεύσειν·
ἡδέως δ' ἄν σου πυθοίμην,
εἴ τινας ἔχεις Ἕλληνας
ἐν τούτοις, οὓς λύκους
καὶ λέοντας ἐξ ἀνθρώπων πεποίηκας:
Καὶ πολλοὺς ὦ ποθούμενε Ὀδυσσεῦ·
πρὸς τί δὲ τοῦτο ἐρωτᾷς; Ὅτι
νὴ Δία καλὴν ἂν ἐμοὶ δοκῶ γενέ-
σθαι φιλοτιμίαν πρὸς τοὺς
Ἕλληνας, εἰ χάριτι λαβὼν παρὰ σοῦ
αὖθις ἀνθρώπους ἑταίρους ἀνασώσαι-
μι καὶ μὴ περιίδοιμι κα-
ταγηράσαντας παρὰ φύσιν ἐν
σώματι θηρίων οἰκτρὰν καὶ
ἄτιμον οὕτω δίαιταν ἔχοντας: δίαιταν
Οὗτος ὁ ἀνὴρ οὐχ αὑτῷ μόνον, οὐδὲ
τοῖς ἑταίροις, ἀλλὰ τοῖς μηδὲν

[illegible] δίαιταν ἔχειν

προσήκουσιν οἱ ἑταῖροι δεῖν ὑπὸ
ἀβελτερίας συμφορὰν ἡγεῖ-
σθαι τὴν αὐτοῦ φιλοτιμίαν:
ΟΔ. ὅρον αὖ τί μοι τοῦτον ὦ Κίρ-
κη κυκεῶνα λόγων ταράττεις;
ἐμέ γ' οὖν ἀτεχνῶς ποιοῦσα
θηρίον ἐξ ἀνθρώπου εἰ σοι· ὡς συμ-
φορὰ ἐστὶν ἄνθρωπον ἐκ θηρίου γενέ-
σθαι: οὐ γὰρ ἤδη τούτων
ἀτοπώτερα πεποίηκας
σεαυτόν· ὃς τὸ ἀθάνατον καὶ
ἀγήρω σὺν ἐμοὶ βίον ἀφεὶς.
ἐπὶ γυναῖκα θνητὴν ὡς ἐγώ
φημι καὶ γραῦν ἤδη, διὰ
μυρίων ἔτι κακῶν σπεύδεις·
ὡς δὴ περίβλεπτος, ἐκ
τούτου καὶ ὀνομαστὸς ἔτι μᾶλ-
λον ἢ νῦν γενόμενος· κενὸν ἀγαθὸν καὶ
εἴδωλον ἀντὶ τῆς ἀληθείας δι-
ώκων; ΟΔ. ἔστω ταῦθ' ὡς
λέγεις ὦ Κίρκη· τί δεῖ πολλάκις

ζόμεθα ἡμᾶς πολιτῶν
αὐτῶν· τούτους δ' ἐμοὶ δὸς
ἀναλύσασα καὶ χαρίσαι τοὺς
ἄνδρας· οὐχ οὕτω γε ἁπλ-
μάτην ἑκάτερον· οὐ γὰρ
οἱ τυχόντες εἰσίν· ἀλλ' ἐροῦ
πρῶτον αὐτοὺς εἰ θέλουσιν·
ἂν δὲ μὴ φῶσι, διαλεχθεὶς
ὦ γενναῖε, πεῖσον· ἐὰν δὲ
μὴ πείσῃς· ἀλλὰ καὶ περι-
γένωνται διαλεγόμενοι· ἱ-
κανὸν ἀρκέσοι περὶ σεαυτοῦ
καὶ τῶν φίλων ὅτι κακῶς βε-
βουλεῦσθαι; τί μου κατα-
γελᾷς ὦ μακαρία; πῶς
γὰρ ἂν ἢ δοῖεν οὗτοι λόγον
ἢ λάβοιεν· ἕως ὄνοι καὶ σύες
καὶ λέοντες εἰσί. θάρρει φιλο-
τιμότατε ἀνθρώπων· ἐγὼ σοι πα-
ρέξω καὶ συνιέντας αὐτοὺς
καὶ διαλεγομένους· μᾶλλον

δὲ ὡς ἱκανὸς φαίνει διδάσκει-
ν λαμβάνων ὑπὲρ πάντων
λόγον· ἰδοὺ τούτῳ διαλέγου:
Καὶ τίνα τοῦτον ὦ Κίρκη προσ-
αγορεύσομεν, ἢ τίς ὢν οὗτος ἦν
ἀνθρώπων; Τί γὰρ τοῦτο πρὸς
τὸν λόγον; ἀλλὰ κάλει αὐτὸν
εἰ βούλει Γρύλλον· ἐγὼ δ' ἐκστή-
σομαι ὑμῖν, ἵνα μὴ καὶ πρὸς
γνώμην ἐμοὶ δοκῇ χαρι-
ζόμενος διαλέγεσθαι· Χαῖρε
ὁ δεῖνα· Καὶ σὺ νὴ Δία
Γρύλλε· τί βούλει ἐρωτᾶν;
ἐγὼ γινώσκω ὑμᾶς ἀνθρώπους γεγο-
νότας, οἰκτείρω μὲν οὖν ἅπαν-
τας οὕτως ἔχοντας· Εἰκὸς δὲ
καὶ μᾶλλον διαφέρειν, ὅσοι
Ἕλληνες ὄντες ἐς ταύτην ἀφί-
χθητε τὴν δυστυχίαν· νῦν οὖν
ἐποιησάμην αἴτησιν τῆς Κίρκης δὲ
κοινήν, ὅπως τὸν βουλόμενον

ἡμῶν ἀναλύσασα καὶ κατα-
στήσασα πάλιν εἰς τὸ ἀρχαῖον
εἶδος ἀποπέμψῃ μεθ' ἡμῶν.
παῦε ὁ δ' ἔστω. Καὶ παραιτοῦ
μηδὲν εἴπῃς· ὡς καὶ σοῦ πάντες
ἡμεῖς καταφρονοῦμεν, ὡς μά-
την ἄρα δεινὸς ἐλέγου· καὶ τῷ
φρονεῖν, πολὺ τῶν ἄλλων ἀμείνων
ἐδόκεις διαφέρειν, ὃς αὐτὸ τοῦτο
ἔδεισας, τὴν μεταβολὴν ἐκ χει-
ρόνων εἰς ἀμείνω, μὴ σκεψά-
μενος, ὥσπερ οἱ παῖδες τὰ
φάρμακα τῶν ἰατρῶν φο-
βοῦνται, καὶ τὰ μαθήματα
φεύγουσιν· ἃ μεταβάλλοντα
ἐκ νοσερῶν καὶ ἀνοήτων ὑγιει-
νοτέρους καὶ φρονιμωτέρους
ποιοῦσιν αὐτούς· οὕτω σὺ διε-
κρούσω τὸ ἄλλος ἐξ ἄλλου γε-
νέσθαι. Καὶ νῦν αὐτός τε φρίττων
καὶ ὑποδειμαίνων τῇ Κίρκῃ σύνεστιν.

μή σε ποιήσῃ λαθοῦσα σῦν ἢ
λύκον· ἡμᾶς τε πείθης ἐν ἀφ-
θόνοις ζῶντας ἀγαθοῖς ἀπολι-
πόντας ἅμα τούτοις τὴν ταῦ-
τα παρασκευάζουσαν ἐκπλεῖν
μετὰ σοῦ· τὸ πάντων φιλο-
πονώτατον ζῷον αὖθις ἀν-
θρώπους γενομένους· ἐμοὶ
σὺ γρύλλε δοκεῖς, οὐ τὴν μορ-
φὴν μόνον, ἀλλὰ καὶ τὴν διά-
νοιαν ὑπὸ τοῦ πόματος ἐκεί-
νου διεφθάρθαι· καὶ γεγονέναι
μεστὸς ἀτόπων καὶ διαλελω-
βημένων παντάπασι δοξῶν·
ἢ σέ τις αὖ συνηθείας ἡδονή,
πρὸς τόδε τὸ σῶμα κατα-
γεγοήτευκεν· οὐδέτερα τούτων
ὦ βασιλεῦ κεφαλλήνων· ἂν δὲ
διαλέγεσθαι μᾶλλον ἐθέλῃς
ἢ λοιδορεῖσθαι· ταχύ σε μετα-
πείσομεν ἑκατέρου τῶν βί-

ἐπείπερ ὡς ἀγνοοῦντα· ὅτι ταῦτα
παρ' ἐμαυτοῦ ἥκοντας ἀγα-
πῶμεν· ἀλλὰ μὴν ἡδέως ἐγὼ πρ(ὸς)
ὑμᾶς ἀκροᾶσθαι· καὶ ἤμελε τοί-
νυν λέγειν· ἀρκτέον δὲ πρῶ-
τον ἀπὸ τῶν ἀρετῶν, ἐφ' αἷς
ὁρῶμεν ὑμᾶς μέγα φρο-
νοῦντας· ὡς τῶν θηρίων πο-
λὺ καὶ δικαιοσύνῃ καὶ φρονήσει
καὶ ἀνδρείᾳ· καὶ ταῖς ἄλλαις ἀ-
ρεταῖς διαφέροντας· ἀπο-
κρίναι δή μοι σοφώτατε
ἀνδρῶν· ἤκουσα γάρ σου ποτὲ
διηγουμένου τῇ Κίρκῃ περὶ
τῆς τῶν Κυκλώπων γῆς, ὡς
οὔτε ἀρουμένου τὸ παράπαν
οὔτε τινὸς ἐς αὐτὴν φυτεύον-
τος οὐδέν, οὕτως ἐστὶν ἀγαθὴ
καὶ γενναία τὴν φύσιν· ὥστε
ἅπαντας ἐκφέρειν τοὺς καρ-
ποὺς ἀφ' αὑτῆς· πότερον οὖν

ταύτην ἐπαινεῖς μᾶλλον ἢ τὴν
αἰγίβοτον Ἰθάκην καὶ τραχεῖαν.
ἡ μὲν πόλις ἀπὸ ἔργων τε πολλῶν
καὶ διὰ πόνων μεγάλων μι-
κρὰ καὶ ὀλίγα καὶ μηδαμῶς
ἄξια τοῖς γεωργοῦσιν ἀναδί-
δωσι· καὶ ὅπως ἂν χαλεπῇ
οἴσεις παρὰ τὸ φαινόμενον
ἐννοίᾳ τῆς πατρίδος ἀποκρι-
νόμενος· ἀλλ᾽ οὐ δεῖ ψεύδεσθαι·
φιλῶ μὲν γὰρ καὶ ἀσπάζομαι
τὴν ἐμαυτοῦ πατρίδα τῆς χώρας
μᾶλλον· ἐπαινῶ δὲ καὶ θαυμά-
ζω τὴν ἐκείνων· οὐκοῦν τοῦτο
μὲν οὕτως ἔχειν φήσομεν,
ὡς ὁ φρονιμώτατος ἀμείβεται.
ἀλλὰ μὲν οἱ παῖδες δεῖ ἐπαινεῖν
καὶ δοκιμάζειν· ἀλλὰ τὴν ἀρετὴν
ἀγαπᾶν· ἐκεῖνο δὲ οἱ μὲν
καὶ περὶ τῆς ψυχῆς ἀποκεκρί-
σθαι· τούτων γάρ ἐστι τὸ περὶ

τῆς χώρ(ας), ὡς ἀμείνω ἥτις ἀμό-
πονοῦντι τὴν ἀρετὴν ὥσπερ αὐ-
τοφυῆ καρπὸν ἀναδίδωσιν.
ἐρῶ σοι δὲ τοῦτο οὕτως· ἤδη
μὲν οὖν ὁμολογεῖς τὴν τῶν
θηρίων ψυχὴν ὡς εὐφυεστέραν
εἶναι πρὸς γένεσιν ἀρετῆς·
καὶ τελειοτέραν· ἀνεπίτακτος
γὰρ καὶ ἀδίδακτος ὥσπερ ἄ-
σπορος καὶ ἀνήροτος ἐκφέρει
καὶ αὔξει κατὰ φύσιν τὴν ἑκά-
στῳ προσήκουσαν ἀρετήν.
Καὶ τίνος ποτὲ ἀρετῆς ὦ Γρύλ-
λε μέτεστι τοῖς θηρίοις· τί-
νος μὲν οὐχὶ μᾶλλον ἢ τοῦ
σοφωτάτου τῶν ἀνθρώπων· σκό-
πει δὲ πρῶτον εἰ βούλει τὴν ἀν-
δρείαν ἐφ' ᾗ σὺ φρονεῖς μέγα
καὶ οὐκ ἐγκαλύπτῃ θρασὺς καὶ
πτολίπορθος ἀποκαλούμενος·
ὅστις ὦ σχετλιώτατε λόγοις

καὶ μηχαναῖς ἀγνοῖς ἀπολέσω
καὶ γενναῖον ἀφθόντας πολέμου
τρόπον· ἀπάτης δὲ καὶ ψευδῶν
ἀποτρέψεις παρακρουσάμενος.
ὁμολογῶ τῇ πανουργίᾳ προσ-
τίθης· τῆς ἀρετῆς ἥκιστα
πανουργίαν προσιεμένης.
ἀλλὰ τῶν γε θηλειῶν τοὺς πρὸς
ἀλλήλας καὶ πρὸς ἡμᾶς ἀγῶνας
ὁρᾷς ὡς ἄδολοι καὶ ἄτεχνοι· καὶ
μετὰ ἐμφανοῦς γυμνοῦνται
τοῦ θάρρους πρὸς ἀληθινὰς ἀλκὰς
ποιοῦνται τὰς ἀμύνας· καὶ
οὔτε μόνον καλοῦντες, οὔτε
ἀδραστίας δεδοικότα γρά-
φειν· ἀλλὰ φύσει φάσκοντα
τὸ κρατεῖσθαι, μέχρι τῶν
ἐσχάτων ἐγκαρτεροῦντες διαφυλάττει τὸ ἀήττητον· οὐδὲ
ἡττᾶται κρατούμενα τοῖς σώ-
μασιν· οὐδὲ ἀπαγορεύει

ταῖς ψυχαῖς· ἀλλὰ ταῖς μα-
χαις ἐναποθνήσκει· πολλῶν
δὲ θνησκόντων, ἡ ἀλκὴ μετὰ
τοῦ θυμοειδοῦς ἀποχωρήσα-
σά που ἐς σῶμα ἀθροισθῇ ὅσα περι-
όν τι τοῦ σώματος μεῖον, ἀμ-
φιάζεται τῷ κτείνοντι· καὶ
πηδᾷ ἐς ἀδάμαστον, μέχρις
ἂν ὥσπερ πῦρ ἐγκατασβε-
σθῇ παντάπασι καὶ ἀπολήξῃ.
δέησις δὲ οὐκ ἄγειν· οὐδ' οἶκτος
παραίτησις· οὐδ' ὁμολογία 5.
ἥττης, οὐδὲ δουλεία ἀλέων
λέοντι· ὃ ἵππος ἵππῳ δ' ἂν
δρᾷ ἄν, ὥσπερ ἄγνος ἀνέω-
τεω τῆς θηλίας ἐπωνύμιον
ἀκόλως ἐναπαζόμενος·
ὅσα ἄγνοι πάγαις ἢ δόλοις
ἐχειρώσαντο, ταῦτα μὲν ἤδη
τέλεια, καὶ γράφειν ἀπώσα-
μεν· ἐς τὸ πρὸς δ' ἴωμεν ἐγκαρ-

τερῆσαι ἀλλὰ τὸ περὶ δουλεί-
ας ἐπάγεσθαι καὶ ἀγαπᾶν θανατ-
ῶν. νεοσσοῖς δὲ καὶ σκύμνοις τοῖς
διὰ τὴν ἡλικίαν ἁλωσίμοις καὶ ἁπα-
λοῖς οὖσι, πολλὰ καὶ ἀπατηλὰ
μειλίγματα καὶ ὑποσπά-
σματα προσφέροντες καὶ
καταφαρμάττοντες, ἡδονὰς
παρὰ φύσιν γλυκείας καὶ διαίτας
ἁβρὰς ἢ χρόνον κατειργάσαν-
το καὶ προσεδέξαντο καὶ ὑπέ-
μειναν τὴν καλουμένην ἐξη-
μέρωσιν, ὥσπερ ἀπογυναι-
κῶσιν τοῦ θυμοειδοῦς. οἷς δὴ
μάλιστα δηλοῦν ὅτι τὰ θηρία
πρὸς τὸ θαρρεῖν εὖ πέφυκε·
τοῖς δ' ἀνθρώποις ἡ παρρησία καὶ
παρὰ φύσιν ἐστίν. ἐκεῖθεν δ' ἂν
ὦ βέλτιστε Ὀδυσσεῦ μάλιστα
καταμάθοις. ἐν γὰρ τοῖς
θηρίοις ἰσόρροπον ἐστὶ πρὸς ἀλκὴν

Κρουόμενος δέ, ἀφρὸν ἐκφυσοῦντα
τὰ δ' ἐκφάδην ὁ πολύπους, πα-
ρορχούμενα· τὸ μὲν γὰρ αὐτοῦ τὰς
πλεκτάνας καταθλίβειν αὐτοῦ,
ψεῦδός ἐστι· τὸ δὲ μύραιναν δὲ
δεῖξαι ἐν γαστρί, ἀληθές ἐστιν.
τῶν ἐκείνων γὰρ κακῶς πάσχει
δρακὼν μὲν δ' ἀναιρούμενος, ἐξολιγωθα-
μόντων· ὡς αὖ πάλιν ὁ κάραβος.
ἐκείνων μὲν ἐν λαβαῖς γενομένων,
περιίσταται· ἡ γὰρ ψιλότης
οὐ βοηθεῖ πρὸς τὴν τραχύτη-
τα· τοῦ δὲ πολύποδος ἔσω
τὰς πλεκτάνας διωθοῦντος,
ἀποκλίνεται· καὶ τὸν κύκλον
τοῦτον ἐν τῇ περιόδῳ ταῖς
κατ' ἀλλήλων διώξεσι καὶ φυγαῖς
γίνεσθαι ... ἐν μελέτῃ ἡ φύσις
αὐτοῖς ἀνταγώνιον πεποίηκε
δι' ὁμοιότητος τε συνθέσεως· ἀλλὰ
μὲν ἔχοντες τινὰ χρόνον

ὅτι ἐμιμήσατο τὸ ἄμεμπτον πρὸς αἴσθησ

ἀριστότιμος ὃς ἐθαύμαζεν

γεράνων τὴν ἐν τριγώνῳ

πτῆσιν· ἐγὼ δὲ ἐχίνων

μὲν οὐδένα κυζικηνὸν ἢ βυ

ζάντιον· ἀλλὰ πάντας ὁμοῦ

παρέχομαι τοὺς θαλαττίους·

ὅταν αἴσθωνται μέλλοντα

χειμῶνα καὶ σάλον· ἑρματι

ζομένους λιθιδίοις· ὅπως μὴ

περιτρέπωνται διὰ κουφό

τητα· μηδὲ ἀποσύρωνται

γενομένου κλύδωνος· ἀλλ᾽ ἐπι

μένωσιν ἀραρότας τοῖς πε

τριδίοις· ἡ δὲ γεράνων μετα

βολὴ τῆς πτήσεως πρὸς ἀνέμ

οὐχ ἑνὸς γένους ἐστίν· ἀλλὰ

τοῦτο κοινὸν πάντων ἰχθύω

ν ὅσα πάντα ἀεὶ πρὸς κῦμα

καὶ ῥόον ἀντινήχονται καὶ παρα

φυλάττουσιν· ὅπως μὴ κατ᾽

οὐρανὸν προσφερομένη τοῦ πυρός,
ἡ λεπὶς ἀναπτυσσομένη. λύ-
πῃ τὸ σῶμα γυμνούμενον
καὶ διαταραχθόμενον· ὅθεν ἀεὶ
σὺν χροιᾷ ἑαυτοῖς ἀντιπαρορ-
χιζομένη γὰρ οὕτω καταλο-
ρύφθη ἡ θάλασσα τά τε βραγ-
χία καταστέλλει, καὶ κατὰ τὴν
ἐπιφάνειαν ῥέουσα λείως· ποιεῖ
ἐξ ἧς οὐκ ἀνίησι τὸ φυκῶδες.
Τοῦτο μὲν οὖν ὥσπερ ἔφην
κοινὸν ἀεὶ τῶν ἰχθύων· πλὴν
τοῦ ἔλοπος· τούτου δὲ φασὶ
κατὰ ἄνεμον καὶ ῥοῦν μὴ χωρ-
εῖν φοβούμενον τὴν ἀναχα-
ραξιν τῆς λεπίδος· ἀπὸ δὴ
μὲν πρὸς οὐρανὸν τὰς ἐπιτυ-
χὰς χροιῆς· ὁ δὲ θύννος οὕτω θύννος.
ἰσημερίας αἰσθάνεται καὶ
ἔγνωκεν, ὥστε καὶ τὸν ἄνθρωπον δι-
δάσκειν μηδὲν δεῖν ἀστρολογικῶν

κἀμοῦ δέομαι· ὅπου γὰρ ἂν αὐ-
τοῦ αἱ [illegible] ἀλκυόνος κατα-
λάβωσιν, ἀτρεμεῖς καὶ διατρίβει
περὶ τὸν αὐτὸν τόπον ἄχρι τῆς
ἰσημερίας· ἀλλὰ τῆς γεράνου
σοφὸν ἢ τῆς λίθου περίδραξις,
ὅπως περιέχει πυκνοῦ δεῖ
μίζεσθαι· καὶ πόσῳ σοφώτερον
ὦ φίλε τὸ τοῦ δελφῖνος· ὧ σημαί-
νειν οὐ θέμις· οὐδὲ παραστα-
φορᾶς, ἀλλ' ἀκίνητος γὰρ ἐστὶν ἡ φύσις ις:
αὐτοῦ καὶ ταὐτ' ἔχουσα τοῦ ζῆν
καὶ τοῦ κινεῖσθαι πέρας· ὅταν δ'
ὕπνου δέηται, μετεωρίσας
ἄνω τὸ σῶμα πρὸς τὴν ἐπι-
φάνειαν τῆς θαλάττης, ὕπτιον
ἀφῆκε διὰ βάθους ἀνωρθωσε τινὶ
σάλῳ κομιζόμενος ἄχρι προσαυ-
καὶ ψαῦσαι τῆς γῆς· οὕτω δὲ ἐν
πνιγθεὶς, ἀναρροιζεῖ· καὶ πάλιν
ἄνω γενόμενος, ἐνδίδωσι καὶ φορᾷ

κίνησιν τινὰ μιμεῖσθαι μὲν ἀγα-
παισὶν αὐτῷ μηχανώμενος· τὸ δ'
αὐτὸ δρᾶν καὶ θύννους ἀπὸ τῆς
αὐτῆς αἰτίας λέγουσιν· ἔστι δὲ
ἄρτι τὴν μαθηματικὴν οὕτω
τὴν τοῦ ἡλίου μεταβολὴν ἐπι-
λεῖα προσηγμῶσιν· ἧς μάρτυς
Ἀριστοτέλης φησίν, ἀκριβοῦσιν ἤδη
τὴν ἀριθμητικὴν ἐπιστήμην
αὐτῶν· πρότερον δὲ καὶ μὰ
Δία τὴν ὀπτικήν, ἣν ἔοικεν
μηδ' Αἰσχύλος ἀγνοῆσαι· λέγει
γὰρ τοῦτο σκαιὸν ὄμμα παρα-
βαλὼν θύννου δίκην· τῷ γὰρ
ἑτέρῳ δοκοῦσιν ἀμβλυώττειν·
ὅθεν ἐμβάλλουσιν εἰς τὸν Πόντον
ἐν δεξιᾷ τῆς γῆς ἐχόμενοι· καὶ
τοὐναντίον ὅταν ἐξίωσιν ἐμ-
φρόνως πάνυ καὶ νουνεχῶς ἀεὶ
τὴν τοῦ σώματος φυλακὴν
ἐπὶ τὸ κρεῖττον ποιούμενοι τ

τῶν ὀφθαλμῶν. ἐριθευτικῆς
δὲ διὰ τὴν κοινωνικὴν ὡς
ἔοικε καὶ φιλάλληλον ἀγάπης
αὐτῶν ἐνθέντα, οὕτως ἐπ᾽
ἄκρον ἥκουσι τοῦ μαθήματος.
ὥστε καὶ πάνυ χαίρουσι τῷ
συντρέφεσθαι καὶ συναγελά-
ζεσθαι μετ᾽ ἀλλήλων. ἀεὶ τὸ
πλῆθος τῷ σχήματι κυβίζουσι
καὶ στερεὸν ἐκ πάντων ποι-
οῦσιν δὲ ἴσαις καὶ ἐπιπέδοις ἐπὶ
ἐχόμενον. εἶτα μὴ χαλᾶν τὴν
τάξιν οὕτω τὸ πλαίσιον ἀμ-
φίστομον διαφυλάττοντα
ὥστε ὁ θυννοσκόπος ἂν ἀκρι-
βῶς λέγῃ τὸν ἀριθμὸν τῆς
ἐπιφανείας, ὁ δ᾽ εὐθὺς ἀποφαί-
νεσθαι. πόσος ἐστὶ πᾶν τὸ πλῆθος
ἀθρόως ὅτι καὶ τὸ βάθος αὐτῶν
ἐν ἰσοτεταγμένον στοιχείῳ
πρός τε τὸ πλάτος ἐστὶ καὶ τὸ

μῆκος· δ' ἡμιπηχιαῖος τοῦ
νομα παρέσχηκεν ὁ συνασπι-
λφομεδε· οἶμαι δὲ καὶ ταῖς πελα-
μίσιν· τῶν δὲ ἄλλων ἰδίων ὡς
ὅσα φανερὰ καὶ κοινωνικὰ
μετ' ἀλλήλων ἀβλαβῶς· οὐκ
ἄν τις ἀποσταίη τοῦ ἀεὶ θεᾶ· ἀλλὰ
μᾶλλον ἐπὶ τὰς κατ' ἰδίαν 155
κοινωνίας αὐτῶν καὶ συμβιώσ-
ἰτέον· ὧν μάλιστα ὁ τὸ πλεῖστον
ἀναλώσας Χρύσιππος μέ-
λαν πιννοθήρας· παντὶ καὶ
φυσικῷ βιβλίῳ καὶ ἠθικῷ προ-
εδρίαν ἔχων· τὸν γὰρ σπογ-
γοθήραν οὐχ ἱστόρηκεν· οὐ γὰρ
ἂν παραλέλοιπεν· ὁ μὲν οὖν πιννο-
θήρας ζῷόν ἐστι καρκινῶδες
ὥς φασι, καὶ τῇ πίννῃ σύνεστι
καὶ πυλωρεῖ τὴν κόγχην προ-
καθήμενος, ἐῶν ἀνεῳγμένην
καὶ διακεχηνυῖαν ἄχρι προσ-

πέσῃ τι τῶν ἁλωσίμων αὐτοῖς ἰ-
χθυδίων· τότε δὲ τὴν σάρκα
τῆς πίννης δακὼν, παρεισῆλθε.
ἡ δὲ, συνέκλεισε τὴν κόγχην.
καὶ κοινῶς τὴν ἄγραν ἐντὸς
ἕρκους γενομένην κατεσθίουσι.
τὸν δὲ σπόγγον ἡνιοχεῖ θηρίδιον,
οὐ καρκινῶδες, ἀλλ' ἀράχνῃ παρα-
πλήσιον· οὐ γὰρ ἄψυχον οὐδὲ
ἀναίσθητον, οὐδὲ ἄναιμον ὁ σπόγγος
ἐστίν· ἀλλὰ ταῖς μὲν πέτραις ὥς
ἄλλα πολλὰ προσπέφυκεν· ἔχει
δὲ κίνησιν ἰδίαν ἐξ ἑαυτοῦ καὶ εἰς
ἑαυτὸν· οἷον ὑπομνήσεως καὶ
παιδαγωγίας δεομένην· μανὸς
γὰρ ὢν ἄλλως, καὶ τοῖς ἀραιώμασιν
ἀνειμένος ὑπ' ἀργίας καὶ ἀμβλύτη-
τος, ὅταν ἐμπέσῃ τι τῶν ἐδωδίμων.
ἐκείνου σημήναντος, ἐπίεσε καὶ
καταναλῶσεν· ἔτι δὲ μᾶλλον
ἀνθρώπου προσιόντος ἢ θιγόντος.

διδάσκουσι καὶ χαράσσουσι, οἷον
ἔφριξε καὶ συνέκλασε τὸ σῶμα τὴν ἐξ
καὶ πυκνώσας· ὥστε μὴ ῥᾳδίαν,
ἀλλὰ δύσοδον εἶναι τὴν ὑποστολὴν
αὐτοῦ τοῖς θηρῶσιν· αἱ δὲ πορ-
φύραι συναθροιζόμεναι, τὸ μελικη-
ρίον ὥσπερ αἱ μέλιτται κοινῇ
ποιοῦσιν, ἐν ᾧ λέγονται γονὰς ἔχειν·
τὰ δὲ ἐδώδιμα τῶν βρύων καὶ
τῶν φυκίων ἀναλαμβάνουσαι
προσισχόμεναι τοῖς ὀστράκοις, οἷον
ἐν περιόδῳ κυκλούμεναι ἑστίας
ἀλλήλαις παρέχουσιν, ἑτέραν ἑτέρας
ἔξωθεν ἐπινεμομένης. καίτοι
ἄν τις ἐν τούτοις τὴν κοινωνί-
αν θαυμάσειεν, ὅπου τὸ πάντων
ἀμεικτότατον καὶ τὸ θηριωδέ-
στατον ὧν τρέφουσι ποταμοὶ
καὶ λίμναι καὶ θάλασσαι ζῴων
ὁ κροκόδειλος, θαυμαστὸν ἑαυτὸν
ἐπιδείκνυται πρὸς κοινωνίαν

τὴν χάριν εὖ τοῖς πρὸς τὸν τροχίλ-
ον συμβολαίοις· ὁ γὰρ τροχίλος
ἐστὶ μὲν ὄρνις τῶν ἑλείων καὶ
παραποταμίων· φρουρεῖ δὲ
τὸν κροκόδειλον· οὐκ οἰκόσιτος,
ἀλλὰ τοῖς ἐκείνου λειψάνοις
παρατρεφόμενος· ὅταν γὰρ αἴ-
σθηται τοῦ κροκοδείλου καθεύ-
δοντος, εἶτα βουλεύοντα τὸν
ἰχνεύμονα πηλούμενον ἐπ' αὐτὸν
ὥσπερ ἀθλητὴν κονιόμενον,
ἐπεγείρει φθεγγόμενος καὶ κολάπτων.
ὁ δ' οὕτως ἐξεγείρεται πρὸς
αὐτόν· ὥστε τοῦ στόματος δι-
ακεχηνότος ἐντὸς παρίησι· καὶ
καθαίρει τὰ λεπτὰ τῶν ἐνισχομένων
τοῖς ὀδοῦσι σαρκῶν ἐκλεγόμενος
ἀτρέμα τῷ ῥάμφει· ὁ δ' ἀνασα-
λεύοντος· ἂν μὲν τελείως ἔχων
ἤδη βούληται συναγαγεῖν τὸ
στόμα καὶ κλεῖσαι, προκλίνει

τρ(οχίλος)
ῥάμφος
ὀρνίθων

τὴν σπάνιν λέγουσα, καὶ διασημαίνει
καὶ οὐ πρότερον καθίκοιτ' ἂν, ἢ σὺ
αἰσθανομένου ἐκπλῆναι τὸν Χρύσ-
ιππον· ὁ γὰρ καλούμενος ἡγεμὼν
μεγέθει μὲν ἐστὶ καὶ σχήματι
κωβιώδης ἰχθύδιον· τὴν δ'
ἐπιφάνειαν ὄρνιθι φρίσσοντι
διὰ τὴν τραχύτητα τῆς λε-
πίδος, ἐοικέναι λέγουσι· καὶ
ἀεὶ σύνεστιν ἑνὶ τῶν μεγάλων
κητῶν καὶ προνήχεται τὸν
δρόμον ἀπευθύνων· ὅπως
οὐκ ἀσχεθήσεται βράχεσιν·
οὐδὲ εἰς τέναγος, ἤ τινα πορ-
θμὸν ἐμπεσὼν δυσέξοδον·
ἕπεται γὰρ αὐτῷ τὸ κῆτος,
ὥσπερ οἴακι ναῦς περιαγόμενον
εὐπειθῶς· καὶ τῶν μὲν ἄλλ(ων)
ὅτι ἂν παραλάβῃ τῷ χάσμα-
τι, ζῷον ἢ σκάφος, ἢ λίθ(ον)
εὐθέως διέφθαρται καὶ ἀπόλωλε

ἐμβεβυθισμένη· ἐκείνῳ ὁ γινώσκ-
ἀναλαμβάνει τῷ στόματι καθά-
περ ἄγκυραν ἐντός· ἐγκαθεύ-
δει γὰρ αὐτῷ· καὶ τοῦ κήτους ἐπὶ
ἀναπαυομένου καὶ ὁρμεῖ· προ-
ελθόντος δὲ αὖθις ἐπακολουθεῖ·
μήτε ἡμέρας, μήτε νυκτὸς
ἀπολειπόμενον· ἢ ῥέμβεται
καὶ πλανᾶται καὶ πολλὰ διέφθα-
ρη· καθάπερ ἀκυβέρνητα
πρὸς γῆν ἐξενεχθέντα· καὶ
Ἀντίκυρα· γὰρ ἡμεῖς τὸ περὶ Ἀντίκυραν
ἑωράκαμεν· οὐ πάλαι καὶ πρό-
τερον ἱστοροῦσιν· οὐ πόρρω
βουνῶν ἐξοκείλαντος καὶ κατα-
σαπέντος, λοιμὸν γενέσθαι·
ἆρα οὖν ἄξιόν ἐστι ταύταις τὰς
κοινωνίαις καὶ συμπεριφοραῖς,
παραβάλλειν; ὁ γὰρ Ἀριστοτέλης
ἱστορεῖ φιλίας ἀλωπέκων καὶ
ὄφεων, διὰ τὸ κοινὸν αὐτοῖς

πολέμιον εἶναι τὸ ἔργον· ἢ
γὰρ ἐπιδόσιν πρὸς ἰατρεία
ὅτι χειροῦσαι πρὸς παραλόγου
ἐπισκοπεῖν ἀλλοιοῦσαι τῶν ἀνθρώ-
πων· μὲν γὰρ οὐδὲ ἓν μελίτταις
ἐστὶ [illegible] οὐδὲ ἐν μελισ-
σῶν [illegible] ἀλλήλων
τὸ γὰρ κοινὸν αὔξειν πάσαις
ἐστὶ πάντων τὸ ἔργον· ἑτέρα δὲ
καθ' ἑτέραν [illegible] ἑτέρου, ἀρχο-
μένας οὐδετέρας οὐδὲ φροντίς ἐστιν
ἐπὶ δὲ μᾶλλον κατὰ [illegible] μεθο-
δικὴν διαφοράν· αὐτίκα προ-
βάτων [illegible] ἐπὶ [illegible]
μονικῶν ἔργων καθηκόντων
τὰ περὶ τὰς γενέσεις ἐν [illegible] 55
τὸν λόγον [illegible] πρὸς
καὶ γὰρ οἱ λιμναῖοι καὶ θαλάσσιοι
καὶ ποτάμιοι ἐκδέχονται μένουσιν
μέλλουσι θαλάττιοι ἰχθύες
ὅταν μέλλωσι τίκτειν, ἀμαρτε

χαίρει τῶν ποτίμων ὑδάτων
τὸ πραότατον καὶ τὸ ἄσαλ-
διώκοντα· ἀγαθὴ γὰρ ἡ γα-
λήνη λοχεύσαι· καὶ τὸ ἀθηρ-
ἅμα ταῖς λίμναις ἐνυπάρχει καὶ
ποταμοῖς, ὥστε σώζεσθαι
τὰ τικτόμενα· διὸ καὶ πλεῖστα
καὶ μάλιστα γονὰς [illegible] ποδεῖ
τοῦ ἀξένου πόντου· οὐ γὰρ
τρέφει κήτη, ἀλλ' ἢ φώκην
ἀραιὰν, καὶ δελφῖνα μικρ(όν)·
ὅτι δὲ ἡ τῶν ποταμῶν ἐπι-
μιξία πλείστων καὶ μεγίστων
ἐκδιδόντων εἰς τὸν πόντον,
ἤπιον παρέχει καὶ προσφορ-
τοῖς λοχευομένοις κρᾶσιν.
Τὸ δὲ τοῦ ἀνθίου θαυμασιώ-
τατον μέν, ὃν Ὅμηρος ἱερ(ὸν)
ἰχθὺν εἴρηκεν· Καίτοι μέγαν
τινὲς οἴονται τὸν ἱερόν· καθά-
περ ὀστοῦν ἱερὸν τὸ μέγα·

καὶ τὴν ἐπίληψιν μεγάλην
νόσον οὖσαν, ἱερὰν καλοῦσιν·
ἔνιοι δὲ κοινῶς τὸ ἄφθονον καὶ
ἱερόν. Ἐρατοσθένης δὲ ἐπὶ τοῦ χρυ-
σόφρυος ἔοικεν ὀνομάζειν· χρύ-
σοφρυν ἐπόψιον ἱερὸν ἰχθὺν
λέγων· πολλοὶ δὲ τὸν ἔλλοπα·
σπάνιος γάρ ἐστι καὶ δυσάλωτος
ἁλῶναι· φαίνεσθαι δὲ περὶ
Παμφυλίαν πολλάκις· ἂν
οὖν ποτε λάβωσι, στεφανοῦσθαι
μὲν αὐτοί, στεφανοῦσι δὲ τὰς
ἁλιάδας· κρότῳ δὲ καὶ πατάγῳ κατα-
πλέοντας αὐτοὺς ὑποδέχ-
εσθαι καὶ τιμᾶν· οἱ δὲ πλεῖστοι
τὸν ἀνθίαν ἱερὸν εἶναι καὶ λέγε-
σθαι νομίζουσιν· ὅπου γὰρ
ἂν ἀνθίας ὀφθῇ, θηρίον οὐκ
ἔστιν, ἀλλὰ θαρροῦντες μὲν
οἱ σπογγοθῆραι κατακο-
λυμβῶσιν· θαρροῦντες δὲ

τίκτουσιν οἱ ἰχθύες, ὥσπερ
ἐγγύην τινὰ ἀσυλίας ἔχοντα.
ἡ δ' αἰτία διττὸς λογισμός· ἢ ὅτι
φεύγει τὰ θηρία τὸν ἄνθρωπον,
ὥσπερ τὸν ἐλέφαντα, ἀλεκτρυ-
όνα δὲ λέοντα· ἢ ὅτι περὶ σημεῖα
τόπων ἀθήρων· ἀγινώσκει
καὶ παραφυλάττει, συνετὸς
ὢν καὶ μνημονικὸς ὁ ἰχθύς. ἀλ-
λὰ ἥ γε πρόνοια κοινὴ τοῖς τί-
κτουσι τῶν γενομένων. οἱ δ' ἄρρενες,
οὐ τὸν αὐτῶν καταθίουσι γόνον.
ἀλλὰ καὶ προσδιατρίβουσι τοῖς
κυήμασιν ὠοφυλακοῦντες,
ὡς ἱστόρηκεν Ἀριστοτέλης. οἱ δὲ
ἑπόμενοι ταῖς θηλείαις, κατα-
ρέουσι μικρὸν τὸν θορόν. ἄλλως
γὰρ οὐ γίνεται μέγα τὸ τε-
χθέν, ἀλλ' ἀτελὲς μένει
καὶ ἄναυξον. ἴδια δὲ αἱ φυκίδες
ἐκ τῶν φυκίων οἷον νοττιὰν

διαπλάσαι, διαμετέ-
χουσι τὸν γόνον καὶ σκέπουσιν
ἀπὸ τοῦ κλύδωνος. τοῦ δὲ γα-
λεοῦ τὸ φιλόστοργον, οὐδενὶ τῶν
ἡμερωτάτων ζῴων, τῶν βολῶν
γλυκυθυμίας πρὸς τὰ ἔκγονα
καὶ χρηστότητος ἀπολέλοιπε. τί-
κτουσι μὲν γὰρ ᾠόν, εἶτα ζῷον
οὐκ ἐκτός, ἀλλ' ἐντὸς ἐν ἑαυτοῖς
καὶ τρέφουσιν οὕτω καὶ φέρουσιν,
ὥσπερ ἐκ δευτέρας γενέσεως.
ὅταν δὲ μείζονα γένηται μεθιᾶσι
θύραζε καὶ διδάσκουσι νήχεσθαι
πλησίον. εἶτα πάλιν δέχονται
διὰ τοῦ στόματος ἐπαναλαμ-
βάνουσι καὶ παρέχουσιν ἐνδιαιτᾶ-
σθαι τὸ σῶμα, χώραν ἅμα καὶ
τροφεῖον καὶ καταφυγήν, ἄχρις
ἂν ἐνδεῶς ἔχειν τοῦ βοηθεῖν αὐ-
τοῖς γένηται. θαυμαστὴ δὲ καὶ
ἡ τῆς χελώνης περὶ τὴν γένεσιν

εἰς σωτηρίαν τῶν γεννωμένων
ἐπιμέλεια· τίκτει μὲν γὰρ
ἐκβαίνουσα τῆς θαλάττης
πλησίον· ἐπῳάζειν δὲ μὴ δυ
ναμένη μηδὲ χερσεύειν πο
λὺν χρόνον, ἐντίθησι τῇ ψάμ
μῳ τὰ ᾠὰ καὶ τὸ λειότατον
ἐπαμᾶται τῆς θινὸς αὐτοῖς καὶ
μαλακώτατον· ὅταν δὲ κα
ταχώσῃ καὶ ἀποκρύψῃ βεβαί
οἱ μὲν λέγουσι τοῖς ποσὶν ἀ
μάττειν καὶ καταχαράζειν τὸν τόπον
ἄσημον ἑαυτῇ ποιοῦσαν· οἱ δὲ
τὴν θήλειαν ὑπὸ τοῦ ἄρρενος
τρεφομένην τύποις ἰδίοις καὶ
σφραγῖδας ἐναπολείπειν· ὃ
δὲ τούτου θαυμασιώτερον ὀγ
ἡμέραν ἐκφυλάξασα τεσσαρα
κοστήν· ἐν τοσαύταις γὰρ ἐκ
πέττεται καὶ περιρρήγνυται
τὰ ᾠὰ πρόσεισι· καὶ γνωρί

σπάσασα τὸν ἑαυτῆς ἐκεῖ θη-
σαυρὸν ὥς οὐδεὶς χρυσίου
θήκην ἄρας, ἀσμένως ἀνοίγει
καὶ περιθύμως. Τῶν κρο-
κοδείλων τὰ μὲν ἄλλα πα-
ραπλήσια. τῆς δὲ χώρας
ὁ προχασμὸς ἐπίνοιαν ἀπὸ
τῆς αἰτίας οὐ δίδωσιν οὐδὲ
συλλογισμόν. ὅθεν οὐ φασὶ
λογικὴν, ἀλλὰ μαντικὴν
εἶναι τὴν περὶ τούτου τοῦ θη-
ρίου πρόγνωσιν. οὔτε γὰρ
πλέον οὔτε ἔλαττον ἐκβᾶσα
ἀλλὰ ὅσον εἰς ὥραν ἔτους ὁ Νεῖ-
λος αὐξηθεὶς ἐπικλύζει καὶ ἀπο-
κρύψει τῆς γῆς, ἐκεῖ τὰ ᾠὰ
τίθησιν. ὥστε τὸν ἐντυχόντα
τῶν γεωργῶν, αὐτὸν γινώ-
σκειν. ἑτέροις τε φράζειν ὅπως
αὐτοῖς ὁ ποταμὸς πρόσω
οὕτω συνεμετρήσατο μὴ

βρεχόμεναι αὐτὸς βρεχόμενος, ἔσω
ἄγει. ἐκλιπόντων δὲ τῶν σκύ-
μνων, ὃς εὐθὺς ἀναδὺς μὴ λά-
βῃ τι τῶν παρατυχόντων, ἢ
μελάνης ἐρίφου ἢ αἰγὸς ἐν τόπον·
ἢ κάρφος ἢ βοτάνην· τῷ στό-
ματι διασπαράξασα τοῦτ'
ἢ μικρὸν ἀπεκτεμοῦσα δακού-
σα δὲ θυμοῦ δὴ καὶ βραδηνεία,
ὀργῇ καὶ ποιεῖ τοῦτο· καθάπερ
οἱ σοφώτατοι τῶν ἀνθρώπων, ἀξι-
οῦσι, κρεῖττον τὸ φιλεῖν οὐ παθεῖν
μεμαθηκυῖα. Καὶ μὴν αἱ φῶκαι
τίκτουσι μὲν ἐν τῷ ξηρῷ· κα-
ταμικρὸν δὲ προσάγουσαι τὰ σκύ-
μνια, γευοῦσι τῆς θαλάττης·
καὶ ταχὺ πάλιν ἐξάγουσι· καὶ
τοῦτο πολλάκις ποιοῦσιν ἐν
μέρει· μέχρις ἂν οὕτως ἐθιζό-
μενα θαρρήσῃ, καὶ τὸ λοιπὸν τὴν
ἐνάλιον δίαιταν. Οἱ δὲ βάτρα-

χοι περὶ τὰς ὄχθας ἀνακηλήσαντι
χρῶνται τὴν λεγομένην· ποι
οῦνται ὀλολυγόνα φωνήν, ἐρω-
τικὴν καὶ γαμηλίου οὖσαν· ὅτι
δὲ τὴν θήλειαν ὁ ἄρρην οὕτω
προσάγηται· κοινὴν τὴν νύκτα
ποθουμένοισιν· ἐν ἡμέρᾳ μὲν
γὰρ οὐ δύνανται· μεθ' ἡμέραν
δὲ δεδίασιν ἐπὶ γῆς μείζονας·
γενομένου δὲ σκότους, ἀδεέστερον
συμπλέκονται προθυμότατα·
ἄλλως δὲ λαμπρύνουσι τὴν
φωνήν· ὕστερον προσδεχόμενοι·
καὶ τοῦτο σημεῖον ἐν τοῖς βε-
βαιοτάτοις ἐστίν· ἀλλ' οἷον ὦ
φίλε πρόσοδον ὀλίγου πάθοις,
ὡς αὐτόπτου πείθομαι καὶ κα-
τα[illegible]ρον· ἵνα διατρίβοντα
περὶ φώκας καὶ βατράχους·
τὸ σοφώτατον καὶ θεοφιλέστατον
παρελθεῖν ἐξέφυγε τῶν ἐναλ-

ποίας γὰρ ἀηδόνος ἀξίον, τοῦ
φιλομούσου τῆς ἀλκυόνος, κ(αὶ)
τοῦ τεχνικοῦ παραβάλλειν φι-
λοτέχνου χελιδόνας, ἢ τοῦ φι-
λανθρώπου πελαργάδας, ἢ τοῦ τεχνι-
κοῦ παραβάλλειν μελίττας;
ἔτι μὴν ὅ γε μηνύεις ἐς τόκους καὶ
ὠδῖνας ὁ θεὸς οὕτως ἐτίμη-
σε· γῆς μὲν γὰρ λητοῦς γο-
νὰς μίαν ὑποδέξασθαι μόνο(ν)
ὁρασθεῖσαν ἱστοροῦσι· τῇ δὲ
ἀλκυόνι τικτούσῃ ἐπὶ γῆς
πᾶσαν ἵστησι θάλατταν ἀκύ-
μονα ἐς ἀσάλευτον· ὅθεν
οὐδὲν ἐπὶ ζώων ἄλλο ὁ φιλοστ-
άνοι· διὰ τὴν ἑπτὰ ἡμέρας,
ἑπτὰ δὲ νύκτας ἐν ἀκμῇ χει-
μῶνος ἀδεῶς πλέουσι, τῆς
κατὰ γῆν πορείας τηνικαῦτα
τῆς διὰ τῆς θαλάττης ἀσφα-
λεστέραν ἐχόντων· εἰ δὲ καὶ

περὶ ἑκάστης τῶν ἀρετῶν ἃς
ἔχει βραχέα φάναι· φίλανδρος
μὲν οὕτως ἐστὶν ὥστε μὴ καθ' ἕνα
καιρὸν ἀλλὰ δι' ὅτου οἷον δεῖσθαι
καὶ προσδέχεσθαι τὴν τοῦ ἄρρενος
ὁμιλίαν· οὐ διὰ τὸ ἀκόλαστον
ἄλλῳ γὰρ οὐ μίγνυται τὸ πα-
ράπαν· ἀλλ' ὑπὸ ὁμοίας ὥσπερ
γυνὴ γαμετὴ καὶ φιλόσοφος οἶμαι·
ὅταν δὲ διὰ γῆρας ἀσθενὴς
ὁ ἄρρην γένηται οἷον [illegible]θαι
καὶ βαρύς, ὑπολαβοῦσα γηρω-
φορεῖ καὶ γηροτροφεῖ μηδαμοῦ
προϊεμένη μηδὲ κατα-
λιποῦσα χωρίς· ἀλλὰ τοῖς
ὤμοις ἐκ θυμοῦ ἀναθεμένη
κομίζει πανταχόσε καὶ θρέ-
πει· καὶ οἷόν ἐστιν ἀχειπε-
λάτης· τῷ δὲ φιλοτέκνῳ καὶ
περὶ [illegible] τῆς σωτηρίας τῶν
γεννωμένων οἷα αἰσθανομένη

κύουσαν ἑαυτήν, τάχιστα δὲ
τρέπεται πρὸς ἐργασίαν τῆς νε
οττιᾶς, οὐ φυρῶσα πηλὸν
οὐδὲ προσερείδουσα τοίχοις καὶ ὀρο
φοῖς ὥσπερ αἱ χελιδόνες· οὐδὲ
χρωμένη πολλοῖς τοῦ σώματος
ἐνόργοις μέρεσιν ὥσπερ τῆς
μελίττης ἐνδυομένης τῷ σώματι
τὸ κηρίον ἀνοιγούσης, ὁμοῦ γραυ
ον τὸ ἐς ἀδῶμα τόπον ἀγγεῖα
διαρθροῦσιν· ἡ δὲ ἀλκυὼν, ἓν
ὄργανον ἁπλοῦν· ἓν ὅπλον· ἓν
ἐργαλεῖον ἔχουσα τὸ στόμα,
καὶ μηδὲν ἄλλο τοῦ φιλοπόνου
καὶ φιλοτέκνου συνεργοῦ· οἷα
μηχανᾶται καὶ δημιουργεῖ,
χαλεπὸν ἀπι μὴ καταμα
θοῦσι προσθεωμένοις ὄψει τὸ πλατ
τόμενον ὑπ' αὐτῆς· μᾶλλον δὲ
ναυπηγούμενον, σχημάτων
πολλῶν μόνον ἀπερίτρεπτον

ἡ φύσις· καὶ τὸ θῆλυ τοῦ ἄρ-
ρενος οὐδὲν ἀποδεῖ, πονεῖν τε
τοὺς ὑπὲρ τοῖς ἀναγκαίοις πόνους
ἀγωνίζεσθαί τε τοὺς ὑπὲρ τῶν
τέκνων ἀγῶνας· ἀλλὰ καὶ
κρομμυωνίαν τινὰ σῦν ἀ-
κούσας, ἣ πράγματα πολλὰ
θῆλυ θηρίον οὖσα τῷ θησεῖ πα-
ρέσχε. ἐπεὶ τὴν σφίγγα ἐκείνην,
οὐκ ἂν ὤνησεν ἡ σοφία περὶ
τὸ φίκιον ἄνω καθεζομένην,
αἰνίγματα καὶ γρίφους πλέ-
κουσαν, εἰ μὴ ῥώμῃ καὶ ἀνδρείᾳ,
πολὺ τῶν καδμείων ἐπε-
κράτει. ἐκεῖ δέ που καὶ τὴν
τευμησίαν ἀλώπεκα, μέρμερον
χρῆμα· καὶ πλησίον ὄφιν
τῷ ἀπόλλωνι περὶ τοῦ χρη-
στηρίου μονομαχοῦσαν, ἐν
δελφοῖς [illegible] γενέσθαι λέγουσι·
τὴν δ' αἴθην ὁ βασιλεὺς ὑμῶν

ἔλαβε τὴν [illegible] τοῦ σικυωνίου
μισθὸν ἀστρατείας· ἄριστα
η βουλευσάμενος· ὃς δειλοῦ προ
ετίμησεν ἀνδρὸς· ἵππον ἀ
γαθὸν καὶ φιλόνικον· αὐτὸς δὲ
καὶ παρδάλεις καὶ λεαίνας πολ
λάκις ἑώρακας· ὡς οὐδέν τι
τὰ θήλεα τοῖς ἄρρεσιν ὑφί
εται τοῦ θυμοῦ καὶ ἀλκῆς·
ὥσπερ ἡ σὴ γυνή· σοῦ πολε
μοῦντος· οἴκοι κάθηται πρὸς
ἐσχάραν πυρός· οὐκ ἂν οὐδ'
ὅσον αἱ χελιδόνες ἀμυνομένη
τοὺς ἐπ' αὐτὴν ἢ τὸν οἶκον
βαδίζοντας· καὶ ταῦτα λά
καινα οὖσα· τί οὖν ἔτι σοι
λέγω τὰς καρικὰς ἢ μαιονίδας·
ἀλλ' ἐκ τούτων γε δῆλον ἐστίν,
ὅτι τοῖς ἀνδράσιν οὐ φύσει με
τεστι τῆς ἀνδρ[illegible] μετεῖχον
γὰρ ἂν ὁμοίως καὶ ταῖς γυναιξί

ἀλκῆς· ὥσθ' ὑμετέρας κατὰ νόμου
ἀνάγκην· οὐχ ἑκουσίου· οὐδὲ
βουλομένην· ἀλλὰ δουλείας
ἔθεσι ἐν ψόγοις ἐν δόξαις ἐπη-
λύσι· ἐν λόγοις πλαττομέ-
νην τε ἀνδρείαν· καὶ τοὺς
πόνους ὑφίστασθε ἐν τοῖς
κινδύνοις· οὐ πρὸς ταῦτα
θαρροῦντες· ἀλλὰ τῷ ἕτερα
μᾶλλον τούτων δεδιέναι·
ὥσπερ οὖν τῶν σῶν ἑταίρων
ὁ φθάσας πρῶτος ἐπὶ τὴν
ἐλαφρὰν ἀνίσταται κώπην
οὐ καταφρονῶν ἐκείνης· ἀλ-
λὰ δεδιὼς καὶ φεύγων τὴν βα-
ρυτέραν· οὕτως ὁ πληγὴν
ὑπομένων· ἵνα μὴ λάβῃ
τραύματα καὶ πρὸ αἰκίας
τινὸς ἢ θανάτου πολέμιον
τινα ἀμυνόμενος· οὐ πρὸς
ταῦτα θαρραλέος· ἀλλὰ πρὸ

ἔκγονα θήλεος εἰμί· οὕτω δ' ἂν ἀνα-
φαίνοιτ' ἐκείνη, ἡ μὲν ἀνδρεία θη-
λεία φρόνιμος οὖσα· τὸ δὲ θάρσος,
φόβος ἐπιστήμην ἔχων τοῦ δι'
ἑτέρων ἕτερα φεύγειν· ὅλως δ',
εἰ πρὸς ἀνδρείαν οἴεσθε βελτίους
εἶναι τῶν θηρίων, τί ποτε ὑμῶν
οἱ ποιηταὶ τοὺς κράτιστα τοῖς
πολεμίοις μαχομένους, λυκό-
φρονας καὶ θυμολέοντας· καὶ συΐ
εἰκέλους ἀλκὴν προσαγορεύουσιν·
ἀλλ' οὐ λέοντά τις αὐτῶν ἀνθρω-
πόθυμον· οὐ σῦν ἀνδρὶ ἴκελον
ἀλκὴν προσαγορεύει· ἀλλ' ὥσ-
περ οἶμαι τοὺς ταχεῖς ποδη-
νέμους, καὶ τοὺς καλοὺς θεο-
ειδεῖς ὑπερβαλλόμενοι ταῖς
εἰκόσιν ὀνομάζουσιν· οὕτω τοὺς
ἀγαθοὺς μάχεσθαι πρὸς τὰ κρείτ-
τονα ποιοῦνται τὰς ἀφομοιώσεις. 155
αἴτιον δὲ ὅτι τῆς μὲν ἀνδρεί-

ὅπου δ' ἀφῇ τις ὁ θυμὸς ἐπὶ τὸ
φρόνημα. τούτῳ δ' ἀκράτῳ
τῇ θηλείᾳ χρῆσθαι πρὸς τοὺς
ἀγῶνας. ἡμῖν δὲ προσμε-
μιγμένῳ πρὸς τὸν λογισμόν.
ὥσπερ οἶνος πρὸς ὕδωρ ὀξὶ-
φρεται παρὰ τὸ δῆμα. καὶ
ἀπολλύει τὸν καιρόν. ἔνιοι δὲ
ἡμῶν, οὐδὲ ὅλως φασὶ χρῆναι
παραλαμβάνειν ἐν ταῖς μάχαις
τὸν θυμόν, ἀλλ' ἐκποδὼν θεμέ-
νους χρῆσθαι τῷ λογισμῷ,
πρὸς μὲν τὰς ἀσφαλείας
ὀρθῶς, πρὸς δὲ ἀλκὴν ἢ ἀ-
μύναν, αἴσχιστα λέγοντες,
πῶς γὰρ οὐκ ἄτοπον, αἰτι-
ᾶσθαι μὲν ἡμᾶς τὴν φύσιν,
ὅτι μὴ κέρατα προσέφυσε
τοῖς σώμασιν, μηδὲ ἀγκισ-
τηροις ὀδόντας, μηδὲ ἀγ-
κύλους ὄνυχας. αὐτοὺς δὲ τῆς

ψυχῆς τὸ σύμφυτον ἀφαιρ
ὅπλον ἐκολούθη: παπαὶ
ὦ γρύλλε δεινός μοι δοκεῖς
γεγονέναι σοφιστής, ὅς γε
καὶ νῦν ἐκ τῆς τῆς συηνίας
φθεγγόμενος, οὕτω νεανικῶς
περὶ τὴν ὑπόθεσιν ἐπικε
χείρηκας. ἀλλὰ τί οὐ περὶ
τῆς σωφροσύνης ἐφεξῆς δι
εξῆλθες. ὅτι ᾤμην σε τῶν
εἰρημένων πρότερον ἐπι
λήψεσθαι. σὺ δὲ σπεύδεις ἀ
κοῦσαι πο περὶ τῆς σωφρο
σύνης, ἐπεὶ σωφρονεστάτης
μὲν ἀνὴρ εἶ γυναικός. ἀπό
δειξιν δὲ σωφροσύνης αὐτὸς
οἴει δεδωκέναι, τῶν κίρκης
ἀφροδισίων περιφρονήσας.
καίτοι τούτῳ μὲν οὐδενὸς
τῶν θηρίων διαφέρεις πρὸς
ἐγκράτειαν. οὐδὲ γὰρ ἐκεῖν

τοῖς κρείττοσιν ἐπιθυμεῖ
πλησιάζειν· ἀλλὰ καὶ τὰς ἡδο-
νὰς καὶ τοὺς ἔρωτας πρὸς
τὰ ὁμόφυλα ποιεῖται· οὐ
θαυμαστὸν μὲν οὖν ἐστὶν ὁ
καθαρὸς ὁ μενδήσιος ἐν
αἰγύπτῳ τράγος λέγεται πολλ-
αῖς καὶ καλαῖς συνειργνύμενος γυ-
ναιξὶν οὐκ εἶναι μίγνυσθαι πρό-
θυμος· ἀλλὰ καὶ πρὸς τὰς αἶγας
ἐπτόηται μᾶλλον· οὕτω σὺ
χαίρων ἀφροδισίοις συνήθεσιν
οὐ θέλεις ἄνθρωπος ὢν θεᾷ συγκα-
θεύδειν· τὴν δὲ πηνελόπης
σωφροσύνην μυρίαι κορῶναι
κρώζουσαι γέλωτα θήσονται
καὶ καταφρονήσουσιν· ὧν ἑκά-
στη ἐὰν ἀποθάνῃ ὁ ἄρρην οὐκ
ὀλίγον χρόνον· ἀλλ' ἐννέα
χηρεύει γενεὰς ἀνθρώπων· ὥστε σοι
τὴν καλὴν πηνελόπην ἐν-

μακις ἀπολείπεσθαι τοῦ σω-
φρονεῖν· ἢς βούλει ἠρώνη· ἀλ-
λὰ ἐπειδὴ σε μὴ λέληθε σοφισ-
τῶν· φέρε Χρυσολέων τάξει
τινὶ τοῦ λόγου· τὴν μὲν σω-
φροσύνην ὅρον θέμενος κατὰ γέ-
νος δὲ τὰς ἐπιθυμίας δηλού-
μενος· ἡ μὲν οὖν σωφροσύ-
νη, βραχύτης τίς ἐστιν ἐπιθυ-
μιῶν· καὶ τάξις, ἀναιροῦσα
μὲν τὰς ἐπεισάκτους καὶ πε-
ριττάς· καιρῷ δὲ καὶ μετρι-
ότητι κοσμοῦσα τὰς ἀναγ-
καίας· ταῖς δ' ἐπιθυμίαις
ἐφορᾷς που μυρίαν διαφορ-
καὶ τὴν πόσιν ἅμα τῷ φυσι-
κῶς καὶ τὸ ἀναγκαῖον χρώμεναι·
αἱ δὲ τῶν ἀφροδισίων αἷς ἀρ-
χὰς ἡ φύσις ἐνδίδωσιν· ἐστὶ
δήπου καὶ μὴ χρόνοις ἔχειν
ἱκανῶς ἀπαλλαγέντα· φυ-

σι καὶ μὲν οὖν, οὐκ ἀναγκαῖαι
δὲ ἐκλήθησαν· τὸ δὲ τῶν
μήτε ἀναγκαίων μήτε φυ-
σικῶν· ἀλλ' ἔξωθεν ὑπὸ δόξης
κενῆς, διὰ ἀπειροκαλίαν ἐ-
πικεχυμένον γένος· ὅσον
μὲν ὀλίγου δεῖν τὰς φυσικὰς
ἀποκρύψειν ὑπὸ πλήθους
ἁπάσας· ἔχει δὲ καθάπερ
ξένος ὄχλος ἐπηλὺς ἐν δήμῳ
καταβιαζόμενος πρὸς τοὺς
ἐγγενεῖς πολίτας· τὰ δὲ θη-
ρία παντάπασιν ἀβάτους
καὶ ἀνεπιμίκτους ἔχοντα τοῖς
ἐπεισάκτοις πάθεσι τὰς ψυ-
χάς· καὶ τοῖς βίοις πόρρω
τῆς κενῆς δόξης· ὥσπερ θα-
λάττης ἀπῳκισμέναι, τὸ γλα-
φυρῶς καὶ περιττῶς διάγειν
ἀπολέλειπται· τὸ δὲ σῶφρον
καὶ μᾶλλον οἰκονομεῖσθαι ταῖς

ἐπιθυμίαις, οὔτε πολλαῖς με-
σῶν οἰκούσαις, οὔτε ἄλλοις εἴαις
σφοδρὰ διαφυλάττειν. ἐμε-
γόσω ὥστε ὁ αὐτοῦ οὐχ ἧττον
ἡ σεμνῶν. ἐξεπλήττε μὲν χρυσὸς
ὡς κτημάτων ἄλλων οὐδενὶ
παραβλητόν. ἦρα δὲ ἄργυρος·
ἐλέφας· ὁ δὲ πλεῖστα τούτων
κεκτημένος ἐδόκει μακά-
ριός τις εἶναι ὁ θεοφιλὴς ἀνήρ
εἴτε φύξ· εἴτε καρ ἦν τοῦ δολώ-
μος ἀσεμνάζοδος. καὶ τοῦ πει-
ἀμέου βαρυποτμότερος· ἐν-
ταῦθα ἀνηρτημένος ἀπὸ ταῖς
ἐπιθυμίαις, οὔτε χαρὶν οὔτε
ἡδονήν. ἀπὸ τῶν ἄλλων πρα-
γμάτων ἀφθόνων ὄντων
ἐν ἱκανῷ, ἐκαρπούμην
τὸν ἐμαυτοῦ βίον, ὡς τῶν
μεγίστων ἐνδεής. ὁ ἄμοιρος
ἀγαθῶν ἀπολελειμμένος.

Τοιγαροῦν ὥς γε μέμνημαι
ἐν Κρήτῃ θεασάμενος ἀπεσ-
χοινισμένον κεκοσμημένον πανη-
γυρικῶς, οὐ τὴν φρόνησιν
ἐζήλωσα· οὐδὲ τὴν ἀρετήν,
ἀλλὰ τοῦ χιτῶνος ἐργασ-
μένου περιττῶς ἐς λεπτό-
τητα καὶ τῆς χλαμύδος οἷον
ἁλουργοῦ, τὴν οὐλότητα καὶ
τὸ κάλλος ἀγασάμενος καὶ τεθηπώς.
Εἶχε δέ τι καὶ ἡ πόρπη χρυ-
σοῦς οὖσα· παιγνίου οἰκεῖα
τορείας δι' ἠκριβωμένον. καὶ
ἐπόθουν γεγονότα μένος,
ὥσπερ αἱ γυναῖκες· ἀλλὰ
νῦν ἀπηλλαγμένος ἐκείνων
τῶν κενῶν δοξῶν καὶ κεκα-
θαρμένος, χρυσὸν μὲν καὶ ἄργυρ(ον)
ὥσπερ τοὺς ἄλλους λίθους
περιορῶν, ὑπερβαίνω·
γεώδεις ταῖς πλάναισιν καὶ ταπεινούς,

οὐδὲ ἂν μὲν διὰ ἡδίου ἢ βαθὺ
καὶ μαλθακοῦ πηλῷ μετρίως ὢν
ἐπικατακλιθῆναι ἀναπαυό-
μενος. Τὰ δὲ τοιαῦτα τῶν
ἀπολαυσάντων ἐπιθυμιῶν,
οὐδεμία ταῖς ἡμετέραις
ἐνοικίζεται ψυχαῖς. ἀλλὰ
τὰ μὲν πλεῖστα ταῖς ἀναγ-
καίαις ὁ βίος ἡμῶν ἐπιθυμίαις
καὶ ἡδοναῖς διοικεῖται. ταῖς
δὲ οὐκ ἀναγκαίαις, ἀλλὰ φυ-
σικαῖς μόνον, οὔτε ἀπρακτί
οὔτε ἀπλήστως ὁμιλοῦμεν.
καὶ ταύτας γε προσῶζειν δὲ ἐλθοῦσαι.
ἡ μὲν ὀσμῇ πρόσεστι ἀηδῆ
καὶ κινοῦντα ταῖς ἀποφοραῖς
τῶν ὀσφρήσεων, εἰκότως ἡδονὴ
πρόσεστι τῷ τὸ ὄφελος καὶ προῖκα
καὶ ἁπλοῦν ἔχειν, ἅμα χρείαν
τινὰ συμβάλλεται τῇ διαμονῇ
τῆς τροφῆς. ἡ μὲν γὰρ γλῶττα

τοῦ γλυκέος καὶ δριμέος καὶ
αὐστηροῦ, γνωρίμων ἐστὶ καὶ
λέγεσθαι. ὅταν τῶν γνωστικῶν
προσενεχθέντων, οἱ χυμοὶ συγ-
χυθῶσιν τὰ ἅμα λάβωσιν. ἡ δ' ὄσφρησις
ἡμῶν περὶ τῶν χυμῶν, γνώμων
οὖσα τῆς δυνάμεως ἑκάστου,
πολὺ τῶν βασιλικῶν προ-
γευστῶν ἀκριβέστερον διαι-
σθανομένη, τὸ μὲν οἰκεῖον ἔσω
παρίησι, τὸ δ' ἀλλότριον ἀπε-
λαύνει καὶ οὐκ ἐᾷ θιγεῖν οὐδὲ
λυπῆσαι τὴν γεῦσιν· ἀλλὰ
διαβάλλει καὶ κατηγορεῖ τὴν
φαυλότητα πρὶν ἢ βλαβῆναι·
τἆλλα δ' οὐκ ἐνοχλεῖ καθάπερ
ἐκεῖνοι τὰ θυμιάματα καὶ κι-
νάμωμα καὶ νάρδοις καὶ φύλ-
λα καὶ καλάμοις ἀραβικοῖς,
μετὰ δεινῆς τινὸς καὶ [illegible]
φαρμακίδος τέχνης ἡ μυρεψικὴ καὶ

ὄνομα σεμνὸν ἐς ταὐτὸ καὶ συμ-
φαίνεσθαι ἀναγκαζόμενα· χρημάτων
πολλῶν ἡδυπάθειαν ἀνάνδρ-
ως καὶ κορασιώδη· καὶ πρὸς οὐδὲν
οὐδαμῶς χρήσιμον ὠνούμενοι·
ἀλλὰ καὶ παροῦσα τοιαύτη
διέφθαρκεν, οὐ μόνον πάσας
γυναῖκας, ἀλλὰ καὶ τῶν ἀνδρ-
τοὺς πλείστους, ὥστε μηδὲ ταῖς
αὑτῶν ἐθέλειν συγγίνεσθαι γυ-
ναιξίν, εἰ μὴ μύρων ἢ κρίνων ὀδω-
δυῖαι καὶ διαπασμάτων
ἐς ταὐτὸ φοιτῷεν· ἀλλὰ κα
πρός γε τούτοις, ὡς τράγοις αἶγας.
καὶ τὰ ἄλλα θήλεα τοῖς συν-
νόμοις αὐτῶν ταῖς ἰδίαις ὀσ-
μαῖς ἐπάγεσθαι· δρόσου τε
καθαρᾶς καὶ λειμώνων ὀδω-
δότα καὶ χλόης· συμφορεῖται
πρὸς τοὺς γάμους ὑπὸ κοινῆς
φιλοφροσύνης, οὐχὶ θρυπτόμεναι

ια αἱ θήλειαι καὶ προΐσχονται
τῆς ἐπιθυμίας ἀπάτας· καὶ
γοητείας καὶ ἀρνήσεις· οἱ δ' ἄρρε-
νες ὑπὸ οἴστρου καὶ μαργότητος
ὠθούμενοι μισθοῦν· καὶ πόνου καὶ
ἀτιμίας· τὸ τῆς γενέσεως ἔργον
ἀδόλως δὲ ἐν καιρῷ καὶ ἀμίσθ(ως)
ἀφροδίτην μετιόντα· ἣ καθ'
ὥραν ἔτους, ὥσπερ φυτοῦ
βλάστην ἐγείρουσα τῶν ζώων
τὴν ἐπιθυμίαν· εὐθὺς ἔσβεσε·
οὔτε τοῦ θήλεος προσιεμένου
μετὰ τὴν κύησιν· οὔτε πει-
ρῶντος ἔτι τοῦ ἄρρενος· οὕτω
μικρὰν καὶ ἀσθενῆ τιμὴν
ἡδονὴ παρ' ἡμῖν· τὸ δ' ὅλον
ἡ φύσις· ὅθεν οὔτε ἄρρενος
πρὸς ἄρρεν· οὔτε θήλεος πρὸς
θῆλυ μῖξιν εἶναι τῶν θηρίων
ἐπιθυμία· κεχειρημένων ἐνη-
μόχασιν· ὑμῶν δὲ πολλὰ

Τοιαῦτα τῶν σεσημασμένων ἀγα-
θῶν. ἐγὼ γὰρ τοῖς οὐδενὸς ἀξί(οις)
ὁ δ' ἀγαμέμνων τὴν βοιωτίαν
ἐπῆλθε κινησόμενος τῶν ἀρ-
γαίων ὑποφαίνοντα. ὁ δὲ κατα-
ψευδόμενος τῆς θαλάσσης καὶ
τῶν πνευμάτων. ἔστι καὶ
καλῶς βαπτίζων ἑαυτὸν εἰς τὴν
καρπαλίδα λίμνην. ὡς αὐ-
τόθι καταποθῶν τὰ βρωτά.
καὶ τῆς ἐπιθυμίας ἀπαλ-
λαξόμενος. ὁ δ' ἡρακλῆς ὁμοίως
ἑταῖρον ἀφέμενον ἐπιδιώκων
ἀπελείφθη τῶν ἀριστέων. ὁ δὲ
προὔδωκε τὸν στόλον. ἐν δὲ τῇ
θαλάσσῃ τοῦ πλώου ἀπολλύμενος
μαθὼν τίς ὑμῶν ἐνέγραψεν.
ἀχιλλεὺς καλὸς ἤδη τοῦ ἀχιλ-
λέως υἱοῦ ἄχομος. καὶ τὰ γρα-
μματα συνθάνομαι διά-
μενεν. ἀλεκτρύων δ' ἀλεκ-

γύμος ἐστὶ βαιὸν θήλειας μὲν
παρούσης, καταποιεμετρα-
ζωος, μέχρι τέλους τίνος ἢ τε-
ροκέρου, μέχρι καὶ δῆμον
ἀποφαίνοντα εἶναι τὸ γίνομεν
οὕτω καὶ παρ' αὐτῶν ἀγνωμελο-
γῆται τῶν ἀγνῶν· ὅτι μὲν ἄλλων
τοῖς θηλείοις σωφρονοῦσιν προσήκει·
ἃ μὲν παραβιάζεσθαι ταῖς ἡ-
δοναῖς τὴν φύσιν· τὰ δ' ἐν
ὑμῖν ἀκόλαστα, οὐδὲ τὸ μέτρον
ἔχουσα σύμμαχον ἡ φύσις
ἐντὸς ὅρων καθείργνυσιν· ἀλλ' ὥς-
περ ὑπὸ ῥεύματος ἐκφερο-
μένου πολλαχοῦ ταῖς ἐπι-
θυμίαις, ὅθεν ὕβριν καὶ τα-
ραχὴν καὶ σύγχυσιν ἐν τοῖς ἀ-
φροδισίοις ἀποβιάζεσθαι τῆς
φύσεως. Καὶ γὰρ αἶγας ἐπει-
ράθησαν ἄνδρες, καὶ ὗς καὶ
ἵππους μιγνύμενοι· Καὶ

γυναῖκα ἀφροδισίοις θηρίοις ἐ-
πεμάνησαν· ἐκ γὰρ τῶν
τοιούτων γάμων ἔφυν μι-
νώταυροι· καὶ αἰγίπανες· ὡς
δ' ἐγῷμαι καὶ σφίγγες ἀναβλα-
στάνουσι, καὶ κένταυροι. καίτοι
διὰ λιμὸν ποτὲ ἀνθρώπου καὶ
κύων ἔφαγεν ὑπ' ἀνάγκης·
καὶ ὄρνις ἐπεγεύσατο· πρὸς
δὲ συνουσίας οὐδέποτε θη-
ρίον ἐπεχείρησεν ἀνθρώπῳ χρή-
σασθαι· θηρίοις δὲ ἄνθρωποι, καὶ
πρὸς ταῦτα καὶ πρὸς ἄλλας
πολλὰς ἡδονὰς, βιάζονται
καὶ παρανομοῦσιν· οὕτω δὲ
φαῦλοι καὶ ἀκρατεῖς περὶ τὰς
εἰρημένας ἐπιθυμίας ὄντες,
ἔτι μᾶλλον ἐν ταῖς ἀναγκαίαις
ἐλέγχονται πολλοῦ τῶν σω-
φρονεῖν ἀπολειπόμενοι τῶν θηρίων.
αὗται δέ εἰσιν αἱ περὶ βρῶσιν

καὶ ποσίν. ὧν ἡμᾶς εἰ τὸ ἡδὺ
μετὰ χρείας τινὸς ἀναλαμ-
βανόμενον. ὑμᾶς δὲ τὴν ἡδονὴν
μᾶλλον, ἢ τὸ κατὰ φύσιν
τῆς τροφῆς διώκοντας. ὑπὸ
πολλῶν καὶ μακρῶν κολάζε-
σθε νοσημάτων. ἅπερ ἐκ
μιᾶς πηγῆς ἀναπλούμενα
τῆς πλησμονῆς, τοῖς σώμασι
παντοδαπῶν πνευμάτων
καὶ δυσκαθάρτων ὑμᾶς ἐμ-
πιπλῆσι. προσφόρου μὲν γὰρ
ἑκάστῳ γένει ζώου μία τρο-
φὴ σύμφυλός ἐστι. τοῖς μὲν
πόα. τοῖς δὲ, ῥίζα τις ἢ καρ-
πός. ὅσα δὲ σαρκοφαγεῖ, πρὸς
οὐδὲν ἄλλο τέτραπται βορᾶς
εἶδος, οὐδὲ ἀφαιρεῖται τῶν
ἀσθενεστέρων τὴν τροφήν. ἀλλ'
ἐᾷ νέμεσθαι. καὶ λέων ἔλαφ(ον)
καὶ λύκος πρόβατον ἢ πέφυκ(ε).

ὁ δ' ἄνος, ἐπεὶ πάντα ταῖς ἡ-
δοναῖς ὑπὸ λαιμαργίας ἐξα-
γόμενος καὶ πειρώμενος πάντων
ἀπογεύεσθαι, ὡς οὐδέπω τὸ
προσφέρον καὶ οἰκεῖον ἐγνωκώς,
μόνος γέγονε τῶν ὄντων παμ-
φάγον· καὶ σαρξὶ χρῆται
πρὸς ζωήν, ὑπ' οὐδεμιᾶς ἀπορί-
ας οὐδὲ ἀμηχανίας· ᾧ παρὸν
ἀεὶ καθ' ὥραν ἄλλα ἐπ' ἄλλοις
ἀπὸ φυτῶν καὶ σπερμάτων
τρυγῶντι καὶ λαμβάνοντι καὶ
δρεπομένῳ, μὴ κάμνειν δι-
ὰ πλῆθος· ἀλλ' ὑπὸ τρυφῆς
καὶ κόρου τῶν ἀναγκαίων, βρώ-
σεις ἀνεπιτηδείους καὶ οὐ καθα-
ρὰς σφαγαῖς ζώων μετερχό-
μενος· πολὺ τῶν ἀγριω-
τάτων θηρίων ὠμότερον·
αἷμα γὰρ καὶ φόνος καὶ σάρκες,
ἰκτίνῳ καὶ λύκῳ καὶ δράκοντι,

αἴτιον οἰκεῖον· ἄλλως δὲ ὅμοιον
ἐστίν· ὥσπερ τὰ παντὶ γένει
χρόνος, οὐχ ὥστε τὰ θήλεια τῶν
ἀλεκτρυόνων ἀπάγεσθαι· ὀλίγοις
δὲ πολλάκις διὰ τὴν τῆς φύσ(εως)
ἀνάγκην· ἀλλ' οὔτε ἔτι ποιητικόν,
οὔτε μιμητὸν ὡς ἔπος φάναι,
οὔτε χορευτικὸν ἐκπέφευγε
τὰς ἠλεβόροις δὴ λεγομένας
ὑμνῳδῶν καὶ φιλοξένοις ἑστίαις.
εἶτεν· ἀλλὰ οὐ τοῖς χρῆσθαι
τούτοις ἐφηδύνοντα τὴν γασ-
τέρα ἐπαυλα ταῦτα φωνῶντας·
ἀλλ' ἡ τῶν θηρίων φρόνησις, τῶν
μὲν ἀχρήστων καὶ ματαίων
τεχνῶν οὐδεμίαν χώραν δί-
δωσι· τὰς δ' ἀναγκαίας, οὐκ
ἐπεισάκτους παρ' ἑτέρων, οὐ
μισθοῦ διδακτάς· οὐδὲ κολλῶσα
μελέτῃ καὶ συμπηγνύουσα
γλίσχρως τῶν θεωρημάτων

ἕκαστον πρὸς ἕκαστον· ἀλλ'
αὐτόθεν ἐξ αὐτῆς· οἷον ἰθα-
γενὴς καὶ σύμφυτος ἀναδί-
δωσι· τοὺς μὲν γὰρ αἰγυ-
πτίους, πάντας ἰατροὺς ἀ-
κούομεν εἶναι· τῶν δὲ ζώων
ἕκαστον, οὐ μόνον πρὸς ἴασιν
αὐτοτεχνόν ἐστιν, ἀλλὰ καὶ
πρὸς διατροφὴν καὶ πρὸς ἀλ-
κήν· θήραν τε καὶ φυλακὴν
καὶ μουσικῆς ὅσον ἑκάστῳ προ-
σήκει κατὰ φύσιν· παρὰ
τίνος γὰρ ἡμεῖς ἐμάθομεν
νοσοῦντες, ἐπὶ τοὺς ποτα-
μοὺς χάριν τῶν καρκίνων
βαδίζειν; τίς δὲ τὰς χελώνας
ἐδίδαξε τῆς ἐχέως φαγούσας
τὴν ὀρίγανον ἐπεσθίειν; τὰς
δὲ κρητικὰς αἶγας ὅταν
περιπέσωσι τοῖς τοξεύμασι
τὸ δίκταμνον διώκειν;

οὐ βρωθέντος· ἐκβάλλουσι
τὰς ἀκίδας· τί γάρ ἐστιν
ὅτι ἀληθὲς ἄρτι τοῦτο ὑ δι-
δάσκαλον εἶναι τὴν φύσιν
εἰς τὴν κυριωτάτην καὶ
σοφωτάτην ἀρχὴν ἀναφέρες
τὴν τῶν θηρίων φρόνησιν· ἣν
εἰ μὴ λόγον οἴεσθε δεῖν, μηδὲ
φρόνησιν καλεῖν, ὥρα σκοπεῖν
ὄνομα κάλλιον αὐτῇ καὶ τι-
μιώτατον· ὥσπερ ἀμέλει
καὶ δι' ἔργων ἀμείνονα καὶ
θαυμασιωτέραν παρέχε-
ται τὴν δύναμιν· οὐκ
ἀμαθὴς, οὐδὲ ἀπαίδευτος·
αὐτομαθὴς δέ τις μᾶλλον
οὖσα καὶ ἀπροσδεής· οὐ δι' ἀ-
σθένειαν, ἀλλὰ ῥώμῃ καὶ
τελειότητι τῆς κατὰ φύσιν
ἀρετῆς, χαίρειν ἐῶσα τὸν
παρ' ἑτέρων διὰ μαθήσεως

τοῦ φθόγγου σύμβολα ἐστί. ὅσα
γοῦν ἔμοιγε εὐφυέστερα ἢ παί-
ζοντα εἰς τὸ μανθάνειν καὶ
μιμεῖσθαι ἄξιοι. τούτων δὲ
ἡ διαφορὰ ἐν τῇ παρὰ φύσιν τοῦ
σώματος. καὶ τὸ δὲ ἰδιότατα
συνηθέστερως ἀναλαμβάνειν τὰ
μαθήματα. ἐῶ γὰρ ἰχνευτὰς
σκύλακας. καὶ βαδίζειν ἐν
ῥυθμῷ πώλους μανθάνοντας·
ἀλλὰ κόρακας διαλέγεσθαι.
καὶ κύνας ἅλλεσθαι διὰ τροχῶν
περιφερομένων. ἵππους
δὲ καὶ βοῦς ἐν θεάτροις κατα-
κλίνοντας καὶ χορεύοντας. καὶ στάσεις
παραβόλους καὶ κινήσεις οὐδ'
ἀνθρώποις πάνυ ῥᾳδίως ἀκριβοῦντ-
ας διδασκόμενοι καὶ μνημο-
νεύοντα, καὶ μαθόντας ἐπίδει-
ξιν. ὡς ἄλλο οὐδὲν οὐδαμῇ
χρήσιμον ἔχουσιν. εἰ δ' ἀπιστεῖς

ὅτι τέχνας μανθάνομεν,
ἀκούσομεν, ὅτι ὁ διδάσκαλον·
ἅπερ γὰρ πέρδικας ἐν τῷ
περισφάλλειν τοὺς νεοττούς,
ἐθίζουσιν ἀποκρύπτεσθαι καὶ
περιΐστασθαι βῶλον ἀνθ' ἑαυτῶν
τοῖς ποσὶν ὑπτίους ἀναπαύοντ(ας).
καὶ τοῖς πτιλαρίδασιν ὅρας ἐπὶ
τῶν τέκνων, ὡς οἱ γνήσιοι παρόντ(ες),
ἀναπτερουμένοις ὑφηγούμεναι
τελω πτῆσιν· αἱ δὲ ἀηδόνες τοὺς
νεοττοὺς προδιδάσκουσιν ᾄδειν.
οἱ δὲ ληφθέντες ἔτι νήπιοι καὶ
τραφέντες ἐν χερσὶν ἀν-
θρώπων, χεῖρον ᾄδουσιν, ὡς
πρὸ ὥρας, ἀπὸ διδασ-
κάλου γενόμενοι. Καταδύο
δὲ ἔστιν τὸ σῶμα. θαυμά-
ζω τοὺς λόγους ἐκείνους, οἷς ἀνε-
πείθομεν ὑπὸ τῶν σοφιστῶν
ἄλογα καὶ ἀνόητα πάντα,

πλείω ἀριθμὸν νομίζειν. Ὀδ. ἐμὲν ὦ Γρύλλε, μεταβεβλησε σὺ ἐκ τοῦ προβάτου λογικὸν ἀποφαίνεις καὶ τὸν ὄνον. αὐτοῖς μὲν τούτοις ὦ βέλτιστε Ὀδυσσεῦ, μάλιστα δεῖ τεκμαίρεσθαι τὴν τῶν θηρίων φύσιν, ὡς λόγου καὶ συνέσεως οὐκ ἐστὶν ἄμοιρος· ὥσπερ οὐκ ἔστι δένδρον ἑτέρου ἑτέρου μᾶλλον, οὐδὲ ἧττον ἄψυχον· ἀλλ' ὁμοίως ἔχει πάντα πρὸς ἀναισθησίαν· οὐδενὶ γὰρ αὐτῶν, ψυχῆς μετέστιν· οὕτως οὐκ ἂν ἐδόκει ζῷον ἕτερον ἑτέρου τῷ φρονεῖν ἀργότερον εἶναι καὶ δυσμαθέστερον, εἰ μὴ πάντα λόγου καὶ συνέσεως· ἀλλὰ τῷ μᾶλλον καὶ ἧττον ἄλλων πως μετεῖχεν. ἐννόησον

δὲ ὅτι τὰς μὲν ἀβελτηρίας
καὶ βλακείας ἐλέγχουσιν, ἑτέρων
πανουργίας καὶ δριμύτητας.
ὅταν ἀλώπεκι καὶ λύκῳ καὶ
μελίττῃ παραβάλῃς ὄνον
καὶ πρόβατον· ὥσπερ εἶναι
τὸν τοῦ Πολυφήμου, ἢ τῷ
πάππῳ σου τῷ Αὐτολύκῳ
τὸν Κορίνθιον ἐκεῖνον Ὅμηρ(ον).
οὐ γὰρ οἶμαι θηρίου πρὸς
θηρίον ἀπόστασιν εἶναι το-
σαύτην, ὅσον ἄνθρωπος
ἀνθρώπου τῷ φρονεῖν καὶ
λογίζεσθαι καὶ μνημονεύειν
ἀφέστηκεν. ἀλλὰ ὅρα, Γρύλλε,
μὴ δεινὸν ᾖ καὶ βίαιον ἀπο-
λιπεῖν λόγον, οἷς οὐκ ἐγγίνε-
ται θεοῦ νόησις. εἶτά σε μὴ
φῶμεν, ὦ Ὀδυσσεῦ, σοφὸν
οὕτως ὄντα καὶ περιττὸν ἐκ
τοῦ Σισύφου γεγονέναι: +

+: Ἔπαινοι Ἰ(ησο)ῦ Χριστοῦ :—

BIBLIOTECA UNIVERSITARIA SALAMANCA